ἐν τῇ συγκλήτῳ ποιησάμενος τοιαῦτα διῆλθεν, ὥστε καὶ γράφειν ἡμῖν ἀπρεπὲς εἶναι. ἡ δὲ σύγκλητος τοῖς πλείστοις τῶν λεγομένων προσκόπτουσα καὶ τοῦ Προυσίου καταγινώσκουσα πρεπούσας τῇ κολακείᾳ τὰς ἀποκρίσεις ἐποιήσατο. Ῥωμαῖοι γὰρ καὶ πολεμίους ἐπ' ἀνδρείᾳ μεγαλοφρονοῦντας νικᾶν σπεύδουσιν.

G. Eumenes.

Pol. XXX, 19, 1—13 B.-W.; 20, 1—13 Hu.

19 (20) Ἤδη δὲ τούτου τὰς ἀποκρίσεις εἰληφότος, προσέπεσε παραγίνεσθαι τὸν Εὐμένη. τοῦτο δὲ τὸ πρᾶγμα πολλὴν ἀπορίαν παρέσχε τοῖς ἐν τῷ συνεδρίῳ· διαβεβλημένοι γὰρ πρὸς αὐτὸν καὶ διαλήψεις ἀμεταθέτους ἔχοντες οὐκ ἐβούλοντο κατ' οὐδένα τρόπον ἐμφανίζειν αὐτούς. πᾶσι γὰρ ἀναδεδειχότες πρῶτον καὶ μέγιστον φίλον τὸν βασιλέα τοῦτον ἔμελλον εἰς ὄψιν ἐλθόντες καὶ προσδεξάμενοι δικαιολογίαν, εἰ μὲν τὸ δοκοῦν ἀποκριθεῖεν ἀκολουθοῦντες ταῖς ἰδίαις διαλήψεσιν, ἐκθεατριεῖν αὐτούς, εἰ τοιοῦτον ἄνθρωπον ἐπὶ τοσοῦτον ἐξετίμησαν ἐν τοῖς ἀνώτερον χρόνοις, εἰ δὲ δουλεύοντες τῇ

24 εἰ] οἱ Schulze, sed vide Kuehner-Gerth II, 2^{3} p. 369^{8}.

26 δουλεύοντες Ursinus, βουλεύοντες.

Liv. Periocha XLVI.

Eumenes rex Romam venit, [qui Macedonico bello medium egerat.]

12-13 qui—egerat, 7-9 p. 62 ne—admitteretur,] A Livio detorta (cf. etiam Polybii XXIX, 6, 4,), ut artes senatus velaret; cf. Nissen p. 29 s.

Pol. XXX, 19, 1—13 B.-W.; 20, 1—13 Hu. Liv. Periocha XLVI.

τῶν ἐκτὸς φαντασίᾳ φιλανθρώπως ἀποκριθεῖεν, παρόψεσθαι τὴν ἀλήθειαν καὶ τὸ τῇ πατρίδι συμφέρον. διόπερ ἐξ ἑκατέρας τῆς ἀποφάσεως μέλλοντος ἀπιθάνου τινὸς αὐτοῖς ἐξακολουθήσειν, εὕροντο λύσιν τοῦ προβλήματος τοιαύτην. ὡς γὰρ καθόλου δυσαρεστούμενοι ταῖς τῶν βασιλέων ἐπιδημίαις δόγμα τι τοιοῦτον ἐξέβαλον, μηδένα βασιλέα παραγίνεσθαι πρὸς αὐτούς. μετὰ δὲ ταῦτα πυθόμενοι τὸν Εὐμένη καταπεπλευκέναι τῆς Ἰταλίας εἰς Βρεντέσιον ἐπαπέστειλαν τὸν ταμίαν φέροντα τὸ δόγμα καὶ κελεύσοντα λέγειν πρὸς αὐτόν, εἴ τι τυγχάνει τῆς συγκλήτου χρείαν ἔχων· εἰ δὲ μηδενὸς δεῖται, παραγγελοῦντα τὴν ταχίστην αὐτὸν ἐκ τῆς Ἰταλίας ἀπαλλάττεσθαι. ὁ δὲ βασιλεύς, συμμίξαντος αὐτῷ τοῦ ταμίου, γνοὺς τὴν τῆς συγκλήτου προαίρεσιν εἰς τέλος ἀπεσιώπησεν, οὐδενὸς φήσας προσδεῖσθαι. καὶ δὴ τούτῳ τῷ τρόπῳ συνέβη τὸν Εὐμένη κωλυθῆναι τῆς εἰς τὴν Ῥώμην ἀναβάσεως. συνηκολουθήκει δὲ καὶ ἕτερόν τι πραγματικὸν τούτῳ τῷ διαβουλίῳ. μεγάλου γὰρ ὑπὸ τῶν Γαλατῶν ἐπικρεμαμένου κινδύνου τῇ βασιλείᾳ, προφανὲς ἦν ὅτι διὰ τὸν σκυβαλισμὸν τοῦτον οἱ μὲν τοῦ βασιλέως σύμμαχοι ταπεινωθήσονται πάντες, οἱ δὲ Γαλάται διπλασίως ἐπιρρωσθήσονται πρὸς τὸν πόλεμον. διὸ πάντῃ πάντως βουλόμενοι ταπεινοῦν αὐτὸν ἐπὶ ταύτην κατηνέχθησαν τὴν γνώμην.

[ne aut hostis iudicatus videretur, si exclusus esset, aut liberatus crimine, si admitteretur,] in commune lex lata est, ne cui regi Romam venire liceret.

H. Aliae legationes.

Pol. XXX, 19, 14—17 B.-W.; 20, 14—17 Hu.

τούτων δὲ γινομένων ἔτι κατ' ἀρχὰς τοῦ χειμῶνος, λοιπὸν ἡ σύγκλητος

1 φαντασίᾳ Ursinus, φαντασίαν.
11 αὐτοὺς Bekker, αὐτοῖς.
14 κελεύσοντα Naber, κελεύοντα.
18 φήσας Reiske, φήσαντος.

9 l e x] Polybius rectius: δόγμα; fortasse error epitomatori debetur.

Pol. XXX, 19, 13—17 B.-W.; 20, 13—17 Hu. Diod. XXXI, 7, 1.

ἅπασιν τοῖς παραγεγονόσι κατὰ πρεσβείαν — οὐ γὰρ ἦν οὔτε πόλις οὔτε βασιλεὺς ὃς οὐκ ἀπεστάλκει πρεσβείαν κατ' ἐκεῖνον τὸν καιρὸν τὴν συγχαρησομένην ἐπὶ τοῖς γεγονόσιν οἷς ἅπασιν οἰκείως ἀπήντησε καὶ φιλανθρώπως πλὴν τῶν Ῥοδίων. τούτους δὲ παρέπεμπε ποικίλας ἐμφάσεις ποιοῦσα περὶ τοῦ μέλλοντος. ἐπείχετο δὲ καὶ ⟨τὰ⟩ κατὰ τοὺς Ἀθηναίους.

Exc. leg. 20, de Boor p. 402. Ὅτι κατὰ τοὺς αὐτοὺς χρόνους ἦκον εἰς Ῥώμην πάντοθεν οἱ πρεσβευταὶ συγχαρησόμενοι τοῖς γεγονόσι κατορθώμασιν. ἡ δὲ σύγκλητος φιλανθρώπως ἅπαντας ἀποδεχομένη καὶ τὰς ἀποκρίσεις ἐπιεικεῖς διδοῦσα συντόμως ἑκάστους ἀπέλυσεν εἰς τὰς πατρίδας.

I. Athenienses.

Pol. XXX, 20 B.-W.; 21 Hu.

Exc. Urs. 84, de Boor p. 331 s. Ὅτι οἱ Ἀθηναῖοι παρεγένοντο πρεσβεύοντες τὸ μὲν πρῶτον ὑπὲρ τῆς Ἁλιαρτίων σωτηρίας, παρακουόμενοι δὲ περὶ τούτου τοῦ μέρους ἐκ μεταθέσεως διελέγοντο περὶ Δήλου καὶ Λήμνου καὶ τῆς τῶν Ἁλιαρτίων χώρας, εἰς ἑαυτοὺς ἐξαιτούμενοι τὴν κτῆσιν. εἶχον γὰρ διττὰς ἐντολάς. οἷς περὶ μὲν τῶν κατὰ Δῆλον καὶ Λῆμνον οὐκ ἄν τις ἐπιτιμήσειε διὰ τὸ καὶ πρότερον ἀντιπεποιῆσθαι τῶν νήσων τούτων, περὶ δὲ τῆς τῶν Ἁλιαρτίων χώρας εἰκότως ἄν τις καταμέμψαιτο. τὸ γὰρ πόλιν σχεδὸν ἀρχαιοτάτην τῶν κατὰ τὴν Βοιωτίαν ἐπταικυῖαν μὴ συνεπανορθοῦν κατὰ πάντα τρόπον, τὸ δ' ἐναντίον ἐξαλείφειν, ἀφαιρουμένους καὶ τὰς εἰς τὸ μέλλον ἐλπίδας τῶν ἠκληρηκότων, δῆλον ὡς οὐδενὶ μὲν ἂν δόξαι τῶν Ἑλλήνων καθήκειν, ἥκιστα δὲ τῶν ἄλλων Ἀθη-

8 τούτους Ursinus, τούτου.
10 ⟨τὰ⟩ addit Wielandt.

20-21 ἀφαιρουμένους Ursinus, ἀφορουμένους.

2-10 Ὅτι—πατρίδας.] Vide app. 1.
12-5 p. 64 Ὅτι—διάθεσιν.] Hanc eclogam arctissime cohaerere cum antecedenti monet Schweighaeuser. Apparet ex verbis ultimis illius eclogae comparatis cum argumento nostri fragmenti.

Pol. XXX, 20 B.-W.; 21 Hu.

ναίοις. τὸ γὰρ τὴν μὲν ἰδίαν πατρίδα κοινὴν ποιεῖν ἅπασιν, τὰς δὲ τῶν ἄλλων ἀναιρεῖν, οὐδαμῶς οἰκεῖον ἂν φανείη τοῦ τῆς πόλεως ἤθους. πλὴν ἥ γε σύγκλητος καὶ τὴν Δῆλον αὐτοῖς ἔδωκε καὶ τὴν Λῆμνον ‹καὶ τὴν τῶν Ἁλιαρτίων χώραν›. καὶ τὰ μὲν κατὰ τοὺς Ἀθηναίους τοιαύτην ἔσχε διάθεσιν.

Exc. Mai. 132, Boissevain p. 197. Καὶ τὴν μὲν Λῆμνον καὶ τὴν Δῆλον κατὰ τὴν παροιμίαν τὸν λύκον τῶν ὤτων ἔλαβον· πολλὰ γὰρ ὑπέμειναν δυσχρηστήματα συμπλεκόμενοι τοῖς Δηλίοις· ἐκ δὲ τῆς τῶν Ἁλιαρτίων χώρας ὄνειδος αὐτοῖς μᾶλλον ἢ καρπός τις συνεξηκολούθησεν.

J. Rhodiorum legationes.

Pol. XXX, 21 B.-W.; 22 Hu.

Exc. Urs. 85, de Boor p. 332. Ὅτι κατὰ τὸν καιρὸν τοῦτον Θεαίδητος εἰσελθὼν εἰς τὴν σύγκλητον λόγους μὲν ἐποιήσατο περὶ τῆς συμμαχίας· ὑπερθεμένης δὲ τῆς συγκλήτου τὸ διαβούλιον, οὗτος μὲν μετήλλαξε τὸν βίον κατὰ φύσιν· ἔτη γὰρ εἶχε πλείω τῶν ὀγδοήκοντα· παραγενομένων δὲ φυγάδων ἔκ τε Καύνου καὶ Στρατονικείας εἰς τὴν Ῥώμην καὶ παρελθόντων εἰς τὴν σύγκλητον, ἐγένετο δόγμα Ῥοδίους ἐξάγειν τὰς φρουρὰς ἔκ τε Καύνου καὶ Στρατονικείας. οἱ δὲ περὶ τὸν Φιλόφρονα καὶ Ἀσυμήδην λαβόντες ταύτην τὴν ἀπόκρισιν ἀπέπλευσαν κατὰ σπουδὴν εἰς τὴν οἰκείαν, δεδιότες μὴ παρακούσαντες οἱ Ῥόδιοι περὶ τοῦ τὰς φρουρὰς ἐξαγαγεῖν αὖθις ἄλλην ἀρχὴν ἐγκλημάτων ποιήσωσιν.

Exc. Urs. 86, de Boor p. 332 s. Ὅτι ἐξεπολέμησαν κατὰ τὸν καιρὸν τοῦτον Κνώσιοι μετὰ Γορτυνίων πρὸς τοὺς Ραυκίους καὶ συνθήκας ἐποιήσαντο πρὸς ἀλλήλους ἐνόρκους μὴ πρότερον λύσειν τὸν πόλεμον πρὶν ἢ

4 καὶ—χώραν addit Wunderer collato § 9 et Strabone IX, 2, 30 C 411.
7 δυσχρηστήματα Geel, δυσκληρήματα Dindorf, quod apud Polybium non occurrit; praeterea *difficultates* melius hic quadrat quam *res adversae*, δυσχερήματα
10 Θεαίδητος Ullrich, Θεαίτητος; vide p. 12, 1.
12-13 μετήλλαξε Ursinus, μετήλαγξε.
15 Ῥοδίους Casaubonus, ῥοδίοις.
22 ἐνόρκους Ursinus, ἐν ὅρκοις.

6-9 καὶ—συνεξηκολούθησεν] Etiam haec cum antecedenti fragmento cohaerere ex argumentis patet.
10-19 Ὅτι—ποιήσωσιν] Hanc epitomam cum antecedenti (cf. p. 63) cohaerere docet Schweighaeuser.
20-11 p. 65 Ὅτι—παρόν.] De loco huius fragmenti vide app. XXV. Haec collocanda non sunt inter res Graeciae, ubi ea collocavit Buettner-Wobst in editione

Pol. XXX, 23 B.-W.; XXXI, 1 Hu.

κατὰ κράτος ἐλεῖν τὴν Ῥαῦκον. οἱ δὲ Ῥόδιοι κομισάμενοι τὰ περὶ τῶν Καυνίων καὶ θεωροῦντες οὐ καταλήγουσαν τὴν ὀργὴν τῶν Ῥωμαίων, ἐπειδὴ περὶ πάντων ἀκολούθως ταῖς ἀποκρίσεσιν ἐπειθάρχησαν, εὐθέως τοὺς περὶ Ἀριστοτέλην πρεσβευτὰς καταστήσαντες ἐξέπεμπον εἰς τὴν Ῥώμην, δόντες ἐντολὰς πειράζειν πάλιν περὶ τῆς συμμαχίας. οἳ καὶ παραγενηθέντες εἰς τὴν Ἰώμην θερείας ἀκμαζούσης εἰσῆλθον εἰς τὴν σύγκλητον καὶ παραυτίκα περὶ τοῦ πεπειθαρχηκέναι τὸν δῆμον τοῖς ἐπιταττομένοις διεσάφουν καὶ παρεκάλουν ὑπὲρ τῆς συμμαχίας, πολλοὺς καὶ ποικίλους διαθέμενοι λόγους. ἡ δὲ σύγκλητος ἔδωκεν ἀπόκρισιν, ἐν ᾗ τὴν μὲν φιλίαν παρεσιώπησε, περὶ δὲ τῆς συμμαχίας οὐκ ἔφη καθήκειν αὐτῇ τοῦτο συγχωρεῖν Ῥοδίοις κατὰ τὸ παρόν.

II. RES GRAECIAE.

Gaudium Peraeae.

Pol. XXX, 24 B.-W.; Hu.

Exc. Mai. 133, Boissevain p. 197. 24. Ὅμοιοι γὰρ ἦσαν οἱ τὴν Περαίαν κατοικοῦντες τοῖς οἰκέταις τοῖς ἐκ τῶν δεσμῶν ἀνελπίστως λελυμένοις, οἵτινες ἀπιστοῦντες τοῖς παροῦσι μείζω μὲν διαβαίνουσι τῆς κατὰ

2 Καυνίων Ursinus, καυνῶν.
6 Θερείας Casaubonus, Θερίας.
9 διαθέμενοι Naber, διαθέμενοι.
12 ἦσαν legit Boissevain addito „sic, non est εἰσιν."
14 διαβαίνουσι Geel, λαμβάνουσι Maius Heyse, .αμαγουσι vel .αβανουσι legit Boissevain.

sua neque inter res Rhodi, ut voluit Metzung p. 30, sed inter res Italiae, ut apparet ex §§ 3—4. Quod ad tempus attinet, cum Rhodii, quam primum potuerunt, societatem cum Romanis inire vellent (vide § 2 et c. 21, 4 B.-W.; 22, 4 Hu.), multo verisimilius est statim post vanam legationem hieme anni 167/6 in senatum introductam (cf. c. 19, 14 B.-W.; 20, 14 Hu. et c. 21, 1 B.-W.; 22, 1 Hu.) aestate eiusdem anni novam eorum legationem Romae adfuisse (hic § 3) quam sequentis anni aestate, quod placuit Hultschio in editione sua; cf. Niese III p. 195.
12-3 p. 66 Ὅμοιοι—ἐξηλλαγμένον.] Historia Peraeae cohaerens cum rebus Rhodi secundum normam Nisseni (p. 66 s.) in rebus Graeciae ponenda est. Quod attinet ad tempus, quamquam iam anno 168/7 libertas Rhodiorum imperio subiectis data est (cf. Pol. XXX, 5, 12), tamen fragmentum rebus Graeciae eiusdem anni inseren-

Pol. XXX, 24 B.-W.; Hu.

φύσιν κινήσεως, οὐ δοκοῦσι δὲ γινώσκεσθαι παρὰ τοῖς ἁπαντῶσιν οὐδὲ συνοραῖσθαι διότι λέλυνται σαφῶς, ἐὰν μή τι παράλογον ποιῶσι καὶ τῶν ἄλλων ἐξηλλαγμένον.

III. RES PERGAMI.

A. Crudelitas Galatarum.

Diod. XXXI, 13. Di.

Exc. Val. 278, Buettner-Wobst p. 281 s.

13. *Ὅτι ὁ τῶν βαρβάρων Γαλατῶν στρατηγὸς ἀπὸ τοῦ διωγμοῦ γενόμενος καὶ συναθροίσας τοὺς αἰχμαλώτους πρᾶξιν ἐπετελέσατο βαρβαρικὴν καὶ παντελῶς ὑπερήφανον. τούς τε γὰρ τοῖς εἴδεσι καλλίστους καὶ ταῖς ἡλικίαις ἀκμαιοτάτους καταστέψας ἔθυσε τοῖς θεοῖς, εἴ γέ τις τῶν θεῶν δέχεται τὰς τοιαύτας τιμάς· τοὺς δὲ ἄλλους πάντας κατηκόντισεν, πολλῶν μὲν ἐν αὐτοῖς γνωριζομένων διὰ τὰς προγεγενημένας ἐπιξενώσεις, οὐδενὸς δὲ διὰ τὴν φιλίαν ἐλεουμένου. καὶ θαυμαστὸν οὐδὲν εἰ βάρβαροι παρ' ἐλπίδας κατορθώσαντες ὑπὲρ ἄνθρωπον ἐχρήσαντο τοῖς εὐτυχήμασιν.*

---

7 *ἀκμαιστάτους* Valesius, *ἀκμαιότατα*.
7-8 *καταστέψας* Wesseling, *καταστρέψασ*.
9 *πάντας κατηκόντισεν*] *πάντασ. . . . κατηκόντισεν*. an inserendum *ἄμα*? Boissevain. — *πολλῶν* Valesius, *πολλοῖσ*.

---

dum non est, cum fragmentum antecedens (Exc. Mai. 132, Boissevain p. 197) ex rebus Italiae anni 167/6 fluxerit; vide p. 64. Primi autem versus lectione (vide adn. crit.) concidit coniectura, quam protulit v. Gelder *Geschichte der alten Rhodier* p. 158 fragmentum partem putans orationis habitae, cum Calynda anno 163 a. Chr. n. Rhodiis reddita est.

4-12 *Ὅτι—εὐτυχήμασιν.*] Cum fragmentum, quod in Excerptis Valesianis antecedit (n. 277, Buettner-Wobst p. 281) ex rebus Italiae anni 167/166 sumptum sit (vide p. 49), verisimillimumque sit fragmentum, quod ibi secundum sequitur (n. 280, l.l. p. 282) ex rebus Syriae eiusdem anni fluxisse (vide p. 68), fragmentum nostrum et quod sequitur, quibus de Galatis et Eumene sermo est, item ex rebus Pergami eiusdem anni manasse necesse est. Unde patet hanc rem referendam non esse ad eam Galatarum seditionem, qua permotus Attalus anno 168/7 Romam venerat (cf. Pol. XXX, 1, 3; p. 1), ut Niese III, p. 199 et v. Gelder *Gallatarum res in Graecia et Asia gestae* p. 265 voluerunt, sed, ut vidit Staehelin *Geschichte der kleinasiatischen Galater*[3] p. 71, ad seditionem ortam, postquam Eumenes anno 167/6 inclementiam senatus expertus est; cf. Pol. XXX, 19, 12 B.-W.; 20, 12 Hu.

B. Sapientia Eumenis.

Diod. XXXI, 14. Di.

Exc. Val. 279, Buettner-Wobst p. 282.

14 *Ὅτι ὁ Εὐμένης ξενολογήσας τά τε ὀψώνια ἅπασιν ἀπέδωκε καὶ δωρεαῖς ἐτίμησε καὶ ἐπαγγελίαις ἐψυχαγώγει πάντας, ἐκκαλούμενος τὴν εὔνοιαν, οὐχ ὁμοίως τῷ Περσεῖ. ἐκεῖνος γὰρ δισμυρίων Γαλατῶν παραγενομένων εἰς τὸν πρὸς Ῥωμαίους πόλεμον, ἀπετρίψατο τὴν τηλικαύτην συμμαχίαν, ἵνα φείσηται τῶν χρημάτων· ὁ δ' Εὐμένης οὐ λίαν εὐπορούμενος ξενολογῶν δωρεαῖς ἐτίμα τοὺς δυναμένους ⟨μάλιστα⟩ χρείας παρέχεσθαι. τοιγαροῦν ἐκεῖνος μὲν οὐ βασιλικὴν μεγαλοφροσύνην ἀλλ' ἰδιωτικὴν τοῦ τυχόντος ἀναλαβὼν μικροψυχίαν ἅμα τῇ βασιλείᾳ πάσῃ καὶ τὸν τηρηθέντα πλοῦτον ἐπεῖδεν αἰχμάλωτον, οὗτος δὲ τῆς νίκης πάντα δεύτερα τιθέμενος οὐ μόνον ἐκ μεγάλων κινδύνων ἐρύσατο τὴν βασιλείαν, ἀλλὰ καὶ πᾶν τὸ τῶν Γαλατῶν ἔθνος ὑποχείριον ἐποιήσατο.*

IV. RES SYRIÆ.

A. Ludi Antiochi.

Pol. XXX, 25, 1 B.-W.; XXXI, 3, 1 Hu.

a. Athen. V. 194[c]. *b.* Athen. X, 439[b].

25 (XXXI, 3) *Ὁ δ' αὐτὸς οὗτος ἐν δὲ τῇ πρώτῃ καὶ τριακοστῇ βασιλεὺς ἀκούσας τοὺς ἐν Μακε- ὁ αὐτὸς Πολύβιός φησι συντελοῦντα*

---

6 δ' Valesius, δὲ.
7 ⟨*μάλιστα*⟩ add. Salmasius in codicis lacuna.

1-12 *Ὅτι—ἐποιήσατο*] Cum ex adnotatione antecedenti sequatur, ut etiam hoc fragmentum ex rebus Pergami anni 167/6 fluxerit, apparet recte Staehelin *Geschichte der Kleinasiatischen Galater*[2] p. 71; 61, et viros doctos ibi laudatos hanc deditionem Galatarum referre ad seditionem eiusdem anni neque ad annum 183 a. Chr. n. eam pertinere, ut contenderunt Koepp *Rheinisches Museum* 40, 124 ss. et Pedroli *Il regno di Pergamo* p. 52.

13 *Ὁ δ' αὐτὸς* e.q.s.] Cum ludi Aemilii Pauli anno 168/7 acti sint (cf. p. 29), patet ludos Antiochi ad gloriam eorum superandam institutos quam primum post eos esse ponendos multoque verisimilius esse eos anno 167/6 celebratos esse, quam secundum Hultschii editionem anno 166/ 65. — *ἐν—τριακοστῇ*] vide app. XXV.

Pol. XXX, 25, 1 B.-W.; XXXI, 3, 1 Hu.

a. Athen. V, 194e. b. Athen. X, 439b.

δονίᾳ συντετελεσμένους ἀγῶνας ὑπὸ Αἰμιλίου Παύλου τοῦ Ῥωμαίων στρατηγοῦ βουλόμενος τῇ μεγαλουργίᾳ ὑπεραραι τὸν Παῦλον ἐξέπεμψε πρέσβεις καὶ θεωροὺς εἰς τὰς πόλεις καταγγελοῦντας τοὺς ἐσομένους ἀγῶνας ὑπ' αὐτοῦ ἐπὶ Δάφνης, ὡς πολλὴν γενέσθαι τῶν Ἑλλήνων σπουδὴν εἰς τὴν ὡς αὐτὸν ἄφιξιν.

αὐτὸν ἐν τῇ Ἀντιοχείᾳ ἀγῶνας συγκαλέσαι πάντας Ἕλληνας καὶ τῶν βουλομένων τοὺς πολλοὺς ἐπὶ τὴν θέαν.

Diod. XXXI, 16, 1 Di.

Exc. Val. 280. Buettner-Wobst p. 282.

16 Ὅτι ἔνιαι τῶν ἐπιβολῶν τοῦ Ἀντιόχου καὶ τῶν πράξεων βασιλικαὶ καὶ θαυμάσιαι τελέως ἦσαν, τινὲς δὲ πάλιν οὕτως εὐτελεῖς καὶ ληρώδεις ὥσθ' ὁλοσχερῶς ὑπὸ πάντων καταφρονεῖσθαι. συντελῶν γὰρ τοὺς ἀγῶνας πρῶτον μὲν ἐναντίαν τοῖς ἄλλοις βασιλεῦσιν ἔσχε προαίρεσιν. ἐκεῖνοι γὰρ αὔξοντες τὴν ἰδίαν βασιλείαν καὶ δυνάμεσι καὶ χρημάτων πλήθεσι, καθὸ οἱοί τ' ἦσαν ἐπεκρύπτοντο τὴν διαίρεσιν διὰ τὴν Ῥωμαίων ὑπεροχήν· οὗτος δὲ τὴν ἐναντίαν λαβὼν διάθεσιν συνήγαγε σχεδὸν ἀπὸ πάσης τῆς οἰκουμένης τοὺς ἐπιφανεστάτους ἄνδρας εἰς τὴν πανήγυριν, πάντα τὰ τοῦ βασιλείου μέρη διαφερόντως ἐκόσμησεν, εἰς ἕνα δὲ τόπον ἀθροίσας καὶ καθάπερ ἐπὶ σκηνὴν ἀναβιβάσας τὴν βασιλείαν ἅπασαν ἐποίησε μηδὲν ἀγνοεῖν τῶν περὶ αὐτόν.

3-4 μεγκλουργίᾳ] μεγκλοεργικιδωρεὰι in cod. A ex glossa ortum. μεγκλοδωρίᾳ Casaubonus (μεγκλοδωρεᾷ), sed *magnificentia*, non *liberalitas* hic postulatur.

9-10 τῶν βουλομένων τοὺς πολλοὺς] κρατεῖν βουλόμενον τοῦ Παύλου Hultsch. τῶν πολλῶν τοὺς βουλομένους Meineke.

19 βκσιλείου Salmasius. βκσιλέως.

8 Δάφνης] Daphne prope Antiochiam sita est (vide iuxta versum 1b).

11-21 Ὅτι—κώτων.] Cum fragmentum, quod sequitur (Exc. Val. 281, Buettner-Wobst p. 282 s.) ex enarratione ludorum desumptum sit, hanc eorum reprehensionem narrationem ipsam praecessisse apparet.

Pol. XXX, 25, 2—14 B.W.; XXXI, 3, 2—14 Hu. = Athen. V, 194c—195f.

2 ἀρχὴν δ' ἐποιήσατο τῆς πανηγύρεως τὴν πομπείαν οὕτως ἐπιτελεσθεῖσαν.
3 καθηγοῦντό τινες Ῥωμαϊκὸν ἔχοντες καθοπλισμὸν ἐν θώραξιν ἀλυσιδωτοῖς, ἄνδρες ἀκμάζοντες ταῖς ἡλικίαις πεντακισχίλιοι· μεθ' οὓς Μυσοὶ πεντα-
4 κισχίλιοι. συνεχεῖς δ' ἦσαν Κίλικες εἰς τὸν τῶν εὐζώνων τρόπον καθω-
5 πλισμένοι τρισχίλιοι, χρυσοῦς ἔχοντες στεφάνους. ἐπὶ δὲ τούτοις Θρᾷκες τρισχίλιοι καὶ Γαλάται πεντακισχίλιοι. τούτοις ἐπέβαλλον Μακεδόνες δισμύριοι καὶ χαλκάσπιδες πεντακισχίλιοι, ἄλλοι δὲ ἀργυράσπιδες, οἷς ἐπη-
6 κολούθει μονομάχων ζεῦγη διακόσια τετταράκοντα. τούτων κατόπιν ἦσαν ἱππεῖς Νισαῖοι μὲν χίλιοι πολιτικοὶ δὲ τρισχίλιοι, ὧν οἱ μὲν πλείους ἦσαν
7 χρυσοφάλαροι καὶ χρυσοστέφανοι, οἱ δ' ἄλλοι ἀργυροφάλαροι. μετὰ δὲ τούτους ἦσαν οἱ λεγόμενοι Ἑταῖροι ἱππεῖς· οὗτοι δὲ ἦσαν εἰς χιλίους,
8 πάντες χρυσοφάλαροι. τούτοις συνεχὲς ἦν τὸ τῶν Φίλων σύνταγμα, ἴσον καὶ κατὰ τὸ πλῆθος καὶ κατὰ τὸν κόσμον. ἐπὶ δὲ τούτοις ἐπίλεκτοι χίλιοι, οἷς ἐπηκολούθει τὸ καλούμενον ἄγημα, κράτιστον εἶναι δοκοῦν σύστημα
9 τῶν ἱππέων, περὶ χιλίους. τελευταία δ' ἦν ἡ κατάφρακτος ἵππος, οἰκείως τῇ προσηγορίᾳ τῶν ἵππων καὶ τῶν ἀνδρῶν ἐσκεπασμένων τοῖς ὅπλοις·
10 ἦσαν δὲ καὶ αὐτοὶ χίλιοι καὶ πεντακόσιοι. πάντες δ' οἱ προειρημένοι εἶχον
11 πορφυρᾶς ἐφαπτίδας, πολλοὶ δὲ καὶ διαχρύσους καὶ ζῳωτάς. ἐπὶ δὲ τούτοις ἕξιππα μὲν ἦν ἑκατόν, τέθριππα δὲ τετταράκοντα, ἔπειτα ἐλεφάντων ἅρμα καὶ συνωρίς. καθ' ἕνα δὲ εἵποντο ἐλέφαντες διεσκευασμένοι
τριάκοντα καὶ ἕξ.

12 Τὴν δ' ἄλλην πομπὴν λέγειν ἐστὶ δυσέφικτον, ὡς ἐν κεφαλαίῳ δὲ λεκτέον. ἔφηβοι μὲν γὰρ ἐπόμπευσαν εἰς ὀκτακοσίους, χρυσοῦς ἔχοντες στεφάνους, βόες δ' εὐτραφεῖς περὶ χιλίους, θεωρίδες δὲ βραχὺ λείπουσαι
13 τριακοσίων, ἐλεφάντων δὲ ὀδόντες ὀκτακόσιοι. τὸ δὲ τῶν ἀγαλμάτων πλῆθος οὐ δυνατὸν ἐξηγήσασθαι· πάντων γὰρ τῶν παρ' ἀνθρώποις λεγομένων ἢ νομιζομένων θεῶν ἢ δαιμόνων, προσέτι δὲ ἡρώων εἴδωλα
14 διήγετο, τὰ μὲν κεχρυσωμένα, τὰ δ' ἠμφιεσμένα στολαῖς διαχρύσοις. καὶ

---

4 συνεχεῖς δ' ἦσαν Κίλικες Dindorf. συνεχεῖς ἦσαν· κίλικες δ'.

6-7 δισμύριοι καὶ χαλκάσπιδες πεντακισχίλιοι, ἄλλοι δὲ ἀργυράσπιδες] δισμύριοι καὶ χαλκάσπιδες πεντακισχίλιοι ⟨οἱ μὲν χρυσάσπιδες⟩ ἄλλοι δὲ ἀργυράσπιδες Reiske. δισμύριοι ⟨χρυσάσπιδες μὲν μύριοι⟩ καὶ χαλκάσπιδες πεντακισχίλιοι, ⟨οἱ⟩ δὲ ἄλλοι ἀργυράσπιδες Kaibel.

9 Νισαῖοι Casaubonus, πισαῖοι.

19 τετταράκοντα] τετρακόσια Reiske.

20 διεσκευασμένοι Schweighaeuser (cf. p. 198b), διεσκεδκσμένοι.

24 Θεωρίδες Casaubonus, Θεωρίκ

28 διήγετο] πκρήγετο Kaibel.

Pol. XXX, 25, 1 B.-W.; XXXI, 3, 1 Hu.

a. Athen. V, 194e. b. Athen. X, 439b.

δονίᾳ συντετελεσμένους ἀγῶνας ὑπὸ Αἰμιλίου Παύλου τοῦ Ῥωμαίων στρατηγοῦ βουλόμενος τῇ μεγαλουργίᾳ ὑπεραῖραι τὸν Παῦλον ἐξέπεμψε πρέσβεις καὶ θεωροὺς εἰς τὰς πόλεις καταγγελοῦντας τοὺς ἐσομένους ἀγῶνας ὑπ' αὐτοῦ ἐπὶ Δάφνης, ὡς πολλὴν γενέσθαι τῶν Ἑλλήνων σπουδὴν εἰς τὴν ὡς αὐτὸν ἄφιξιν.

αὐτὸν ἐν τῇ Ἀντιοχείᾳ ἀγῶνας συγκαλέσαι πάντας Ἕλληνας καὶ τῶν βουλομένων τοὺς πολλοὺς ἐπὶ τὴν θέαν.

Diod. XXXI, 16, 1 Di.

Exc. Val. 280, Buettner-Wobst p. 282.

16 Ὅτι ἔναι τῶν ἐπιβολῶν τοῦ Ἀντιόχου καὶ τῶν πράξεων βασιλικαὶ καὶ θαυμάσιαι τελέως ἦσαν, τινὲς δὲ πάλιν οὕτως εὐτελεῖς καὶ ληρώδεις ὥσθ' ὁλοσχερῶς ὑπὸ πάντων καταφρονεῖσθαι. συντελῶν γὰρ τοὺς ἀγῶνας πρῶτον μὲν ἐναντίαν τοῖς ἄλλοις βασιλεῦσιν ἔσχε προαίρεσιν. ἐκεῖνοι γὰρ αὔξοντες τὴν ἰδίαν βασιλείαν καὶ δυνάμεσι καὶ χρημάτων πλήθεσι, καθὸ οἱοί τ' ἦσαν ἐπεκρύπτοντο τὴν διαίρεσιν διὰ τὴν Ῥωμαίων ὑπεροχήν· οὗτος δὲ τὴν ἐναντίαν λαβὼν διάθεσιν συνήγαγε σχεδὸν ἀπὸ πάσης τῆς οἰκουμένης τοὺς ἐπιφανεστάτους ἄνδρας εἰς τὴν πανήγυριν, πάντα τὰ τοῦ βασιλείου μέρη διαφερόντως ἐκόσμησεν, εἰς ἕνα δὲ τόπον ἀθροίσας καὶ καθάπερ ἐπὶ σκηνὴν ἀναβιβάσας τὴν βασιλείαν ἅπασαν ἐποίησε μηδὲν ἀγνοεῖν τῶν περὶ αὐτόν.

3-4 μεγαλουργίᾳ] μεγαλοεργιαιδωρεᾶι in cod. A ex glossa ortum, μεγαλοδωρίᾳ Casaubonus (μεγαλοδωρεᾷ), sed *magnificentia*, non *liberalitas* hic postulatur.

9-10 τῶν βουλομένων τοὺς πολλοὺς] κρατεῖν βουλόμενον τοῦ Παύλου Hultsch, τῶν πολλῶν τοὺς βουλομένους Meineke.

19 βασιλείου Salmasius, βασιλέως.

8 Δάφνης] Daphne prope Antiochiam sita est (vide iuxta versum 1b).

11-21 Ὅτι—κἀτόν.] Cum fragmentum, quod sequitur (Exc. Val. 281, Buettner-Wobst p. 282 s.) ex enarratione ludorum desumptum sit, hanc eorum reprehensionem narrationem ipsam praecessisse apparet.

Pol. XXX, 25, 2—14 B.W.; XXXI, 3, 2—14 Hu. = Athen. V, 194c—195f.

2 ἀρχὴν δ' ἐποιήσατο τῆς πανηγύρεως τὴν πομπείαν οὕτως ἐπιτελεσθεῖσαν.
3 καθηγοῦντό τινες Ῥωμαϊκὸν ἔχοντες καθοπλισμὸν ἐν θώραξιν ἁλυσιδωτοῖς,
ἄνδρες ἀκμάζοντες ταῖς ἡλικίαις πεντακισχίλιοι· μεθ' οὓς Μυσοὶ πεντα-
4 κισχίλιοι. συνεχεῖς δ' ἦσαν Κίλικες εἰς τὸν τῶν εὐζώνων τρόπον καθω-
5 πλισμένοι τρισχίλιοι, χρυσοῦς ἔχοντες στεφάνους. ἐπὶ δὲ τούτοις Θρᾷκες
τρισχίλιοι καὶ Γαλάται πεντακισχίλιοι. τούτοις ἐπέβαλλον Μακεδόνες δισ-
μύριοι καὶ χαλκάσπιδες πεντακισχίλιοι, ἄλλοι δὲ ἀργυράσπιδες, οἷς ἐπη-
6 κολούθει μονομάχων ζεύγη διακόσια τετταράκοντα. τούτων κατόπιν ἦσαν
ἱππεῖς Νισαῖοι μὲν χίλιοι πολιτικοὶ δὲ τρισχίλιοι, ὧν οἱ μὲν πλείους ἦσαν
7 χρυσοφάλαροι καὶ χρυσοστέφανοι, οἱ δ' ἄλλοι ἀργυροφάλαροι. μετὰ δὲ
τούτους ἦσαν οἱ λεγόμενοι Ἑταῖροι ἱππεῖς· οὗτοι δὲ ἦσαν εἰς χιλίους,
8 πάντες χρυσοφάλαροι. τούτοις συνεχὲς ἦν τὸ τῶν Φίλων σύνταγμα, ἴσον
καὶ κατὰ τὸ πλῆθος καὶ κατὰ τὸν κόσμον. ἐπὶ δὲ τούτοις ἐπίλεκτοι χίλιοι,
οἷς ἐπηκολούθει τὸ καλούμενον ἄγημα, κράτιστον εἶναι δοκοῦν σύστημα
9 τῶν ἱππέων, περὶ χιλίους. τελευταία δ' ἦν ἡ κατάφρακτος ἵππος, οἰκείως
τῇ προσηγορίᾳ τῶν ἵππων καὶ τῶν ἀνδρῶν ἐσκεπασμένων τοῖς ὅπλοις·
10 ἦσαν δὲ καὶ αὐτοὶ χίλιοι καὶ πεντακόσιοι. πάντες δ' οἱ προειρημένοι εἶχον
11 πορφυρᾶς ἐφαπτίδας, πολλοὶ δὲ καὶ διαχρύσους καὶ ζῳωτάς. ἐπὶ δὲ
τούτοις ἔξιππα μὲν ἦν ἑκατόν, τέθριππα δὲ τετταράκοντα, ἔπειτα ἐλε-
φάντων ἅρμα καὶ συνωρίς. καθ' ἕνα δὲ εἵποντο ἐλέφαντες διεσκευασμένοι
τριάκοντα καὶ ἕξ.

12 Τὴν δ' ἄλλην πομπὴν λέγειν ἐστὶ δυσέφικτον, ὡς ἐν κεφαλαίῳ δὲ
λεκτέον. ἔφηβοι μὲν γὰρ ἐπόμπευσαν εἰς ὀκτακοσίους, χρυσοῦς ἔχοντες
στεφάνους, βόες δ' εὐτραφεῖς περὶ χιλίους, θεωρίδες δὲ βραχὺ λείπουσαι
13 τριακοσίων, ἐλεφάντων δὲ ὀδόντες ὀκτακόσιοι. τὸ δὲ τῶν ἀγαλμάτων
πλῆθος οὐ δυνατὸν ἐξηγήσασθαι· πάντων γὰρ τῶν παρ' ἀνθρώποις λεγο-
μένων ἢ νομιζομένων θεῶν ἢ δαιμόνων, προσέτι δὲ ἡρώων εἴδωλα
14 διήγετο, τὰ μὲν κεχρυσωμένα, τὰ δ' ἠμφιεσμένα στολαῖς διαχρύσοις. καὶ

4 συνεχεῖς δ' ἦσαν Κίλικες Dindorf, συνεχεῖς ἦσαν· κίλικες δ'.

6-7 δισμύριοι καὶ χαλκάσπιδες πεντακισχίλιοι, ἄλλοι δὲ ἀργυράσπιδες] δισμύριοι καὶ χαλκάσπιδες πεντακισχίλιοι ⟨οἱ μὲν χρυσάσπιδες⟩ ἄλλοι δὲ ἀργυράσπιδες Reiske, δισμύριοι ⟨χρυσάσπιδες μὲν μύριοι⟩ καὶ χαλκάσπιδες πεντακισχίλιοι, ⟨οἱ⟩ δὲ ἄλλοι ἀργυράσπιδες Kaibel.

9 Νισαῖοι Casaubonus, πισαῖοι.

19 τετταράκοντα] τετρακόσια Reiske.

20 διεσκευασμένοι Schweighaeuser (cf. p. 198b), διεσκεδασμένοι.

24 Θεωρίδες Casaubonus, Θεωρία

28 διήγετο] παρήγετο Kaibel.

Pol. XXX, 25—27 B.W.; XXXI, 3—5 Hu. = Athen. V, 194c—195f.

πᾶσι τούτοις οἱ προσήκοντες μῦθοι κατὰ τὰς παραδεδομένας ἱστορίας ἐν διασκευαῖς πολυτελέσι παρέκειντο. εἵπετο δ' αὐτοῖς καὶ Νυκτὸς εἴδωλον καὶ Ἡμέρας, Γῆς τε καὶ Οὐρανοῦ, καὶ Ἠοῦς καὶ Μεσημβρίας. τὸ δὲ τῶν χρυσωμάτων καὶ ἀργυρωμάτων πλῆθος οὕτως ἄν τις ὑπονοήσειεν ὅσον ἦν· ἑνὸς γὰρ τῶν φίλων, Διονυσίου τοῦ ἐπιστολιαγράφου, χίλιοι παῖδες ἐπόμπευσαν ἀργυρώματα ἔχοντες, ὧν οὐδὲν ἐλάττων' ὁλκὴν εἶχεν δραχμῶν χιλίων. βασιλικοὶ δὲ παῖδες παρῆλθον ἑξακόσιοι χρυσώματα ἔχοντες. ἔπειτα γυναῖκες ἐκ χρυσῶν καλπίδων μύροις ἔρραινον, εἰς διακοσίας. ταύταις δ' ἑξῆς ἐπόμπευον ἐν χρυσόποσι μὲν φορείοις ὀγδοήκοντα γυναῖκες, ⟨ἐν⟩ ἀργυρόποσι δὲ πεντακόσιαι καθήμεναι, πολυτελῶς διεσκευασμέναι. καὶ τῆς μὲν πομπῆς τὰ ἐπιφανέστατα ταῦτα ἦν.

Athen. X, 439b-d.

26 (XXXI, 4) Ἐπιτελεσθέντων δὲ τῶν ἀγώνων καὶ μονομαχιῶν καὶ κυνηγεσίων κατὰ τριάκονθ' ἡμέρας, ἐν αἷς τὰς θέας συνετέλει, πέντε μὲν τὰς πρώτας ἐν τῷ γυμνασίῳ πάντες ἐκ χρυσῶν ὁλκείων ἠλείφοντο κροκίνῳ μύρῳ. ἦν δὲ ταῦτα πεντεκαίδεκα, καὶ κινναμωμίνου τὰ ἴσα καὶ ναρδίνου. παραπλησίως δὲ καὶ ταῖς ἑξῆς εἰσεφέρετο τήλινον, ἀμαράκινον, ἴρινον, πάντα διαφέροντα ταῖς εὐωδίαις. ἔστρωτο δὲ εἰς εὐωχίαν ποτὲ μὲν χίλια τρίκλινα, ποτὲ δὲ χίλια πεντακόσια μετὰ τῆς πολυτελεστάτης διασκευῆς.

καὶ πλείστων παραγινομένων ἐν τοῖς γυμνασίοις, πάντας ἐκ χρυσῶν ὁλκείων ἤλειφε κροκίνῳ μύρῳ καὶ κινναμωμίνῳ καὶ ναρδίνῳ καὶ ἀμαρακίνῳ καὶ ἰρίνῳ καὶ συγκαλῶν αὐτοὺς εἰς εὐωχίαν ποτὲ μὲν χίλια τρίκλινα ποτὲ δὲ χίλια πεντακόσια συνεπλήρου μετὰ πολυτελεστάτης κατασκευῆς.

Diod. XXXI, 16, 2 Di. = Exc. Val. 281, Buettner-Wobst p. 282 s.

Ὅτι τοὺς πολυτελεῖς ἀγῶνας καὶ τὴν θαυμαστὴν πανήγυριν ἐκτελέσας ὁ Ἀντίοχος πάντας τοὺς πρὶν ὑπερέβαλεν. ὁ δὲ δι' αὐτοῦ

δ δὲ

καὶ ὁ

28 πρὶν Valesius, πρὴν.

5 ἐπιστολιαγράφου Casaubonus, ἐπιστολαγράφου.
10 ⟨ἐν⟩ add. Meineke.
17 ὁλκείων Ursinus, ὁλκίων.
21 ἴρινον Casaubonus, ειρινον.
17 ὁλκείων Ursinus, ὁλκίων.
21 ἰρίνῳ vide iuxta apud Athenaeum, κλιρίνωι.

Diod. XXXI, 16, 2 Di. | Pol. XXX, 25—27 B.-W.; XXXI, 3—5 Hu.

a. Athen. V, 194c—195f. | b. Athen. X, 439b.

χειρισμὸς πολλῆς εὐτελείας καὶ καταφρονήσεως ἦν οἰκεῖος. παρέτρεχε γὰρ παρὰ τὴν πομπὴν ἱππάριον ἔχων εὐτελές, καὶ τοὺς μὲν προάγειν κελεύων τοὺς δὲ ἐπέχειν, ἄλλους δὲ ὡς ἔτυχε διατάττων· ὥστε εἴ τις ἀφεῖλεν αὐτοῦ τὸ διάδημα, μηδένα τῶν ἀγνοούντων πιστεῦσαι τοῦτον εἶναι τὸν βασιλέα τὸν τῶν ὅλων κύριον, ὁρῶντα μηδ' ὑπηρέτου μετρίου φαντασίαν ἔχοντα. ἐν δὲ τοῖς πότοις αὐτὸς ἐφιστάμενος ταῖς εἰσόδοις οὓς μὲν εἰσῆγεν οὓς δὲ ἀνέκλινεν, καὶ τοὺς διακόνους τοὺς τὰς παραθέσεις φέροντας διέταττεν. ἀκολούθως δὲ τούτοις προσιὼν τοῖς εὐωχουμένοις, εἰ τύχοι, ποτὲ μὲν ἐκάθιζεν, ποτὲ δὲ προσανέπιπτε. καὶ ποτὲ μὲν ἀποτιθέμενος τὸ ποτή-

χειρισμὸς ἐγίνετο τῶν πραγμάτων δι' αὐτοῦ τοῦ βασιλέως· ἵππον γὰρ ἔχων εὐτελῆ παρέτρεχε παρὰ τὴν πομπήν, τοὺς μὲν προάγειν κελεύων τοὺς δὲ ἐπέχειν.

κατὰ δὲ τοὺς πότους αὐτὸς ἐπὶ τὰς εἰσόδους ἐφιστάμενος οὓς μὲν εἰσῆγεν οὓς δ' ἀνέκλινε, καὶ τοὺς διακόνους δὲ τοὺς τὰς παραθέσεις φέροντας αὐτὸς εἰσῆγε. καὶ περιπορευόμενος οὗ μὲν προσεκάθιζεν, οὗ δὲ προσανέπιπτε· καὶ ποτὲ μὲν ἀποθέμενος μεταξὺ τὸν

χειρισμὸς τῆς διακονίας δι' αὐτοῦ ἐγίνετο.

κατὰ γὰρ τὰς εἰσόδους ἐφιστάμενος οὓς μὲν εἰσῆγεν οὓς δ' ἀνέκλινεν. καὶ τοὺς διακόνους δὲ τοὺς τὰς παραθέσεις εἰσφέροντας αὐτὸς εἰσῆγε. καὶ περιπορευόμενος οὗ μὲν προσεκάθιζεν οὗ δὲ προσανέπιπτε. καὶ ποτὲ μὲν ἀποθέμενος μεταξὺ τὸν

4 πομπὴν Valesius collato Athenaeo, σιωπὴν.
11 μηδένα] μηδεν'ἄν v. Herwerden, sed vide Kuehner-Gerth II, 2³ § 393, 1.
21-22 φέροντας] εἰσφέροντας v. Herwerden, sed Athenaeus X, 439b-d plura mutans non valet contra Diodori et Athenaei V, 104c—105f consensum.
19 εἰσῆγεν Kaibel collato imperfecto iuxta apud Athen. X, 439b-d et Diodorum, εἰσήγαγε.
23 εἰσῆγε Polybii videtur, non διέταττεν iuxta apud Diodorum.
23 εἰσῆγε vide iuxta apud Athen. V, 194c—195f.

Diod. XXXI, 16, 2 Di.

ριον, ποτὲ δὲ ῥίπτων τὸν ψωμὸν ἀνεπήδα καὶ μετανίστατο καὶ περιήει πάντα τὸν πότον, προπόσεις λαμβάνων ὀρθὸς

καὶ τοῖς ἀκροάμασι προσπαίζων. καὶ δή ποτε προκοπτούσης ἐπὶ πολὺ τῆς ἑστιάσεως καὶ τῶν πλειόνων ἤδη κεχωρισμένων, ἦκεν ὑπὸ τῶν μίμων εἰσφερόμενος περικεκαλυμμένος. τεθεὶς δὲ ἐπὶ τὴν γῆν ὑπὸ τῶν συμπαιζόντων, μετὰ ταῦτα τῆς συμφωνίας προκαλουμένης ἀνεπήδα γυμνὸς καὶ τοῖς μίμοις προσπαίζων ὠρχεῖτο τῶν ὀρχήσεων τὰς γέλωτα καὶ χλευασμὸν εἰωθυίας ἐπισπᾶσθαι, ὡς πάντας αἰσχυνθέντας ἐπὶ

Pol. XXX, 25—27 B.-W.; XXXI, 3—5 Hu.

a. Athen. V, 194c—195f.

ψωμόν, ποτὲ δὲ τὸ ποτήριον ἀνεπήδα καὶ μετανίστατο καὶ περιήει τὸν πότον, προπόσεις λαμβάνων ὀρθὸς ἄλλοτε παρ' ἄλλοις, ἅμα δὲ καὶ τοῖς ἀκροάμασι προσπαίζων.

προϊούσης δ' ἐπὶ πολὺ τῆς συνουσίας καὶ πολλῶν ἤδη κεχωρισμένων, ὑπὸ τῶν μίμων ὁ βασιλεὺς εἰσεφέρετο ὅλος κεκαλυμμένος καὶ εἰς τὴν γῆν ἐτίθετο ὡς εἷς ὧν δῆτα τῶν μίμων. καὶ τῆς συμφωνίας προκαλουμένης, ἀναπηδήσας

ὠρχεῖτο καὶ ὑπεκρίνετο μετὰ τῶν γελωτοποιῶν

ὥστε πάντας αἰσχυνομένους

b. Athen. X, 439b-d.

ψωμόν, ποτὲ δὲ τὸ ποτήριον ἀνεπήδα καὶ μετανίστατο καὶ περιήει τὸν πότον προπόσεις λαμβάνων ὀρθὸς ἄλλοτε παρ' ἄλλοις, ἅμα δὲ τοῖς ἀκροάμασι προσπαίζων.

καὶ ὑπὸ τῶν μίμων εἰσεφέρετο ὅλος συγκεκαλυμμένος καὶ ἐτίθετο εἰς τὴν γῆν ὡς εἷς ὧν τῶν μίμων καὶ τῆς συμφωνίας προκαλουμένης ὁ βασιλεὺς ἀναπηδήσας

ὠρχεῖτο καὶ προσέπαιζε τοῖς μίμοις,

ὥστε πάντας αἰσχύνεσθαι. [τοι-

1 ῥίπτων Salmasius, νίπτων.
2 ψωμὸν Salmasius, ψομὸν.
4 πότον Valesius collato Athenaeo, τόπον.
5-6 ὀρθὸς Valesius, ὀρθῶς δὲ.
13-14 εἰσφερόμενος Dindorf, ἐκφερόμενος.
22 γέλωτα Salmasius, γέλωτας.

17-18 προκαλουμένης] προσκαλουμένης cf. iuxta apud Athen. V, 194c—195f.

24-3 p. 73 τοιαῦτα—ἀπαιδευσία] Hisce suis paucis verbis Athenaeus complectitur, quae leguntur apud Diodorum p. 73, 2—20 καὶ—ἐστιν.

Diod. XXXI, 16, 2 Di.

τοῖς πραττομένοις φεύγειν ἐκ τοῦ πότου, καὶ ἕκαστον τῶν ἀπηντηκότων ἐπὶ τὴν πανήγυριν, ὅτε μὲν εἰς τὴν ὑπερβολὴν τῆς χορηγίας ἐμβλέψαι καὶ τὴν ἐν τοῖς ἀγῶσι καὶ πομπείαις οἰκονομίαν καὶ διάταξιν τῶν ὅλων, καταπλήττεσθαι καὶ θαυμάζειν καὶ τὸν βασιλέα καὶ τὴν βασιλείαν, ὅτε δὲ εἰς αὐτὸν ἀτενίσαι καὶ τὸ τῶν ἐπιτηδευμάτων κατεγνωσμένον, ἀπιστεῖν, εἰ περὶ μίαν καὶ τὴν αὐτὴν φύσιν τοσαύτην ἀρετὴν καὶ κακίαν ὑπάρξαι δυνατόν ἐστιν.

Pol. XXX, 25—27 B.-W.; XXXI, 3—5 Hu.

a. Athen. V, 194c—195f.

φεύγειν.

b. Athen. X, 439b-d.

αὗτα ἀπεργάζεται τοὺς ταλαιπώρους ἢ πρὸς τῇ μέθῃ ἀπαιδευσία.]

ταῦτα δὲ πάντα συνετελέσθη ἐξ ὧν τὰ μὲν ἐκ τῆς Αἰγύπτου ἐνοσφίσατο, παρασπονδήσας τὸν Φιλομήτορα βασιλέα παιδίσκον ὄντα, ⟨τὰ⟩ δὲ καὶ τῶν φίλων συμβαλλομένων. ἱεροσυλήκει δὲ καὶ τὰ πλεῖστα τῶν ἱερῶν.

3 ἕκαστον Valesius, ἔκαστος.
14 ἀτενίσαι Dindorf, ἀτενίσοι.

26 ⟨τὰ⟩ add. Musurus.

B. Legatio Ti. Gracchi.

Pol. XXX, 27 B.-W.; XXXI, 5 Hu.

Exc. Urs. 87, de Boor p. 333.

Ὅτι μετὰ τὴν συντέλειαν τῶν ἀγώνων, ἄρτι τούτων γεγονότων, ἦκον οἱ περὶ τὸν Τεβέριον πρεσβευταί, κατασκόπων ἔχοντες τάξιν. οἷς οὕτως ἐπιδεξίως ἀπήντησεν Ἀντίοχος καὶ φιλοφρόνως, ὥστε μὴ οἷον τοὺς περὶ τὸν Τεβέριον ὑποπτεῦσαί τι περὶ αὐτοῦ πραγματικὸν ἢ παρατριβῆς ἔμφασιν ἔχον ἐκ τῶν κατὰ τὴν Ἀλεξάνδρειαν, ἀλλὰ καὶ τῶν λεγόντων τι τοιοῦτον καταγινώσκειν διὰ τὴν ὑπερβολὴν τῆς κατὰ τὴν ἀπάντησιν φιλανθρωπίας· ὅς γε πρὸς τοῖς ἄλλοις καὶ τῆς αὐλῆς παρεχώρησε τοῖς πρεσβευταῖς, μικροῦ δὲ καὶ τοῦ διαδήματος κατὰ τὴν ἐπίφασιν, καίπερ οὐκ ὢν τῇ προαιρέσει τοιοῦτος, ἀλλὰ τοὐναντίον ⟨ἀλλοτριώτατα διακείμενος πρὸς Ῥωμαίους⟩.

Diod. XXXI, 17 Di.

Exc. Val. 282, Buettner-Wobst p. 283 s.

Ὅτι τούτων συντελεσθέντων ἦκον οἱ τοῦ Γράκχου πρεσβευταὶ κατασκεψόμενοι τὴν βασιλείαν. οἷς ὁ βασιλεὺς ὡμίλησε φιλοφρόνως, ὥστε μηδὲν ὑποπτεῦσαι περὶ αὐτοῦ πραγματικὸν ἢ διαφορᾶς ἔμφασιν ἔχον τῆς δοκούσης ὑποικουρεῖν ἐκ τῆς κατὰ τὴν Αἴγυπτον γενομένης προσκοπῆς. οὐκ ἦν ⟨δὲ⟩ τῇ προαιρέσει τοιοῦτος, ἀλλὰ καὶ τοὐναντίον ἀλλοτριώτατα διέκειτο πρὸς Ῥωμαίους.

---

4 Τεβέριον] Hanc formam, cum et in inscriptionibus (cf. Beulé *l' Acropole d' Athènes* I, 305) et per dittographiam apud Polybium III, 69, 7. 11; 70, 1. 6; 72, 1; 75, 1 inveniatur, omnibus locis restituendam esse monet Dindorf *Jahrbücher für classische Philologie* 1869 p. 125 s.; cf. Dittenberger *Hermes* 1872 p. 134.

19-21 ⟨ἀλλοτριώτατα—Ῥωμαίους⟩ add. Schweighaeuser collato Diodoro iuxta.

1-2 συντελεσθέντων Valesius, συνελθόντων.

10 ἔχον Salmasius, ἔχων.

12 προσκοπῆς Wesseling, προκοπῆς.

18 ⟨δὲ⟩ add. Valesius.

10-12 τῆς δοκούσης—προσκοπῆς.] Haec Polybio, contra quae in Excerpto Ursiniano leguntur (10-11 ἦκ—Ἀλεξάνδρειαν), eclogario deberi videntur; verba enim ὑποικουρεῖν et προσκοπή Polybii valde propria sunt.

V. RES ÆGYPTI.

Seditio Dionysii.

Diod. XXXI, 15ª Di.

Exc. de Insidiis 26, de Boor p. 198 s.

Ὅτι τῶν φίλων Πτολεμαίου Διονύσιος ὁ καλούμενος Πετοσάραπις ἐπεχείρησεν ἐξιδιοποιεῖσθαι τὰ πράγματα· παρὸ καὶ τῇ βασιλείᾳ μεγάλους κινδύνους περιέστησεν. ἰσχύων γὰρ μάλιστα τῶν περὶ τὴν αὐλὴν καὶ πάντων Αἰγυπτίων προέχων, ἐν τοῖς κατὰ πόλεμον κινδύνους κατεφρόνησε τῶν βασιλέων ἀμφοτέρων διά τε τὴν ἡλικίαν καὶ τὴν ἀπειρίαν. προσποιηθεὶς δὲ ὑπὸ τοῦ πρεσβυτέρου παρακεκλῆσθαι πρὸς φόνον ἐμφύλιον, διέδωκε λόγον εἰς τὰ πλήθη, φάσκων ἐπιβουλεύεσθαι τὸν νεώτερον Πτολεμαῖον ὑπὸ τοῦ ἀδελφοῦ. συνδραμόντος δὲ τοῦ πλήθους εἰς τὸ στάδιον, καὶ πάντων παροξυνθέντων ἐπὶ τοσοῦτον ὥστε ἐπιχειρεῖν ἀνελεῖν μὲν τὸν πρεσβύτερον, ἐγχειρίσαι δὲ τῷ νεωτέρῳ τὴν βασιλείαν, ἀπαγγελθείσης δὲ τῆς ταραχῆς εἰς τὴν αὐλήν, ὁ βασιλεὺς μεταπεμψάμενος τὸν ἀδελφὸν ἀπελογεῖτο μετὰ δακρύων, μὴ πιστεύειν τῷ τὴν βασιλείαν ἐπιχειροῦντι σφετερίσασθαι, καὶ τῆς ἀμφοτέρων ἡλικίας καταπεφρονηκότι. εἰ δ' ἔτι διστάζων τῇ διανοίᾳ φοβῆται, παραλαμβάνειν αὐτὸν ἐκέλευσε καὶ τὸ διάδημα καὶ τὴν ἀρχήν. ταχὺ δὲ τοῦ μειρακίου τὸν ἀδελφὸν ἀπολύοντος τῆς ὑποψίας, ἀμφότεροι βασιλικὰς ἀναλαβόντες στολὰς ἐξῆλθον εἰς τὸ πλῆθος, φανερὸν ποιοῦντες πᾶσιν, ὡς ὁμονοοῦσιν. ὁ δὲ Διονύσιος ἀποτυχὼν τῆς ἐπιβολῆς ἐκποδὼν ἑαυτὸν ἐποίησε· καὶ τὸ μὲν πρῶτον διαπεμπόμενος ἔπειθε τῶν στρατιωτῶν τοὺς οἰκείους ἀποστάσεως κοινωνεῖν τῶν ἐλπίδων, εἶτα εἰς Ἔλευσῖνα ἀναχωρή-

---

2 Πετοσάραπις Mueller, πετοσαράτης.

6-7 πρεσβυτέρου edd., πρεσβύτου.

10 ἀνελεῖν edd., ἀνελει (sine accentu).

20 εἰς Ἔλευσῖνα Mueller, εἰσελεύσιν.

1-7 p. 76 Ὅτι—βουλομένους] Cum teste Porphyrio (apud Eusebium p. 162 Schoene; cf. Niese III p. 209) fratres ab anno Philometoris XII usque ad eiusdem annum XVII, i.e. ab Olymp. 152, 3 usque ad Olymp. 153, 4 (170—165 a. Chr. n.) ambo iunctim regnaverint crimenque hoc Dionysii tantum concordia fratrum iam suspecta struendum fuerit, fragmentum nostrum ad finem communis imperii collocandum est. Cum autem res Aegypti a Polybio in fine cuiusque anni enarrentur (cf. Nissen p. 66 s.), fragmento sequenti (*de ins.* n. 27), quod de rebus Syriae anni 166/165 agit (vide p. 78), impedimur, quominus ultra annum 167/6 progrediamur.

Diod. XXXI, 15ª Di.

σας προσεδέχετο τοὺς νεωτερίζειν προαιρουμένους, καὶ τῶν ταραχωδῶν στρατιωτῶν ἀθροισθέντων εἰς τετρακισχιλίους. ὁ δὲ βασιλεὺς ἐπ' αὐτοὺς στρατεύσας καὶ νικήσας καὶ τοὺς μὲν ἀνελὼν τοὺς δὲ διώξας, συνηνάγκασε τὸν Διονύσιον γυμνὸν διανήξασθαι τὸ ῥεῖθρον τοῦ ποταμοῦ, καὶ τὴν ἀναχώρησιν εἰς τοὺς Αἰγυπτίους ποιησάμενον ἀνασείειν τὰ πλήθη πρὸς ἀπόστασιν. δραστικὸς δ' ὢν καὶ μεγάλης ἀποδοχῆς τετευχὼς παρὰ τοῖς Αἰγυπτίοις ταχὺ πολλοὺς ἔσχε τοὺς κοινοπραγεῖν βουλομένους.

OLYMP. 153, 3.

I. RES ITALIÆ.

Galatarum legati.

Pol. XXX, 28 B.-W.; XXXI, 2 Hu.

Exc. Urs. 88, *de Boor p.* 333. 28 (XXXI, 2) *Ὅτι τοῖς παρὰ τῶν ἐκ τῆς Ἀσίας Γαλατῶν πρεσβευταῖς συνεχώρησαν τὴν αὐτονομίαν μένουσιν ἐν ταῖς ἰδίαις κατοικίαις καὶ μὴ στρατευομένοις ἐκτὸς τῶν ἰδίων ὅρων.*

II. RES GRAECIÆ.

Odium in Callicratem atque Andronidam.

Pol. XXX, 29 B.-W.; 23 Hu.

Exc. Urs. 89, *de Boor p.* 333. 29 (23) *Ὅτι κατὰ τὴν Πελοπόννησον, παραγενομένων τῶν πρεσβευτῶν καὶ διασαφούντων τὰ κατὰ τὰς ἀποκρίσεις, οὐκέτι θόρυβος ἦν, ἀλλ' ὀργὴ καὶ μῖσος ἐκφανὲς πρὸς τοὺς περὶ τὸν Καλλικράτην.*

2 *Exc. Val.* 101, *Roos p.* 185. *Ὅτι ⟨τὸ μέγεθος⟩ τοῦ περὶ Καλλικράτην μίσους καὶ Ἀνδρωνίδαν καὶ τοὺς λοιποὺς ⟨τοὺς⟩ ὁμογνώμονας τούτων*
3 *οὕτως ἄν τις τεκμήραιτο. τῆς γὰρ τῶν Ἀντιγονείων πανηγύρεως ἐν τῷ Σικυῶνι συντελουμένης, καὶ τῶν βαλανείων ἁπάντων ἐχόντων τάς τε κοινὰς μάκτρας καὶ πυέλους ταύταις παρακειμένας, εἰς ἃς οἱ κομψότεροι*
4 *τῶν ἀνθρώπων εἰώθασι κατ' ἰδίαν ἐμβαίνειν, εἰς ταύτας ὅτε τις καθείη τῶν περὶ τὸν Ἀνδρωνίδαν καὶ Καλλικράτην, οὐδεὶς ἐτόλμα τῶν ἐφεστώ-*

---

8 ⟨τὸ μέγεθος⟩ add. Reiske.
9 ⟨τοὺς⟩ add. Dindorf.
12 μάκτρας Reiske, μακρασ (sine accentu).
13 εἰς ταύτας Reiske, εἰσταύταισ. — καθείη Schweighaeuser, καθίη.

1-3 Ὅτι—ὅρων] Hoc fragmentum, a quo annus novus incipit, cum ad res Italiae narratio redeat (cf. Nissen p. 66), libro XXX attribuendum esse ex eo apparet, quod Excerptum Ursinianum[89] sequens (n. 89, de Boor p. 333) arctissime cohaeret cum Excerpto Valesiano 101, Roos p. 185, quod teste codice ex libro XXX sumptum est (cf. app. XXV; Metzung p. 11).
4-7 Ὅτι—Καλλικράτην; 8-9 p. 78 Ὅτι—προειρημένων] Vide adn. antec.

Pol. XXX, 29 B.-W.; 23 Hu.

των ἔτι καθιέναι, πρὶν ἢ τὸν βαλανείτην τὸ μὲν ὑπάρχον ὕδωρ ἀφεῖναι πᾶν, ἕτερον δὲ καθαρὸν ἐγχέαι. τοῦτο δ' ἐποίουν, ὑπολαμβάνοντες ὡσανεὶ μαίνεσθαι καθιέντες εἰς ταὐτὸ τοῖς προειρημένοις ὕδωρ. τοὺς δὲ συριγμοὺς τοὺς ἐν ταῖς κοιναῖς πανηγύρεσι τῶν Ἑλλήνων καὶ τοὺς χλευασμούς, ὅτε τις ἐπιβάλοιτο κηρύττειν τινὰ τῶν προειρημένων, οὐδ' ἂν ἐξηγήσαιτο ῥᾳδίως οὐδείς. ἐθάρρει δὲ καὶ τὰ παιδάρια κατὰ τὰς ὁδοὺς ἐκ τῶν διδασκαλείων ἐπανάγοντα κατὰ πρόσωπον αὐτοὺς προδότας ἀποκαλεῖν. τοιαύτη τις ὑπέδραμε προσκοπὴ καὶ μῖσος κατὰ τῶν προειρημένων.

III. RES SYRIÆ.

Antiochus Artaxiam devincit.

Diod. XXXI, 17ª Di.

Exc. de Insidiis 27, de Boor, p. 199.

Ὅτι Ἀρταξίας, ὁ τῆς Ἀρμενίας βασιλεύς, ἀποστὰς Ἀντιόχου, πόλιν ἔκτισεν ἐπώνυμον ἑαυτοῦ, καὶ δυνάμεις ἀθρὰς συνήγαγεν. ὁ δὲ Ἀντίοχος ἰσχύων κατ' ἐκείνους τοὺς χρόνους ὡς οὐδεὶς τῶν ἄλλων βασιλέων, ἐστράτευσεν ἐπ' αὐτὸν καὶ νικήσας ἠνάγκασε ποιεῖν τὸ προστατόμενον.

---

1 *βαλανείτην* thesauri Stephanei editores Angli, *βαλανίτην*. — *ἀφεῖναι* Bekker, *ἀφιέναι*.
3 *ὡσανεὶ* Valesius, *ὡσ ἂν εἰ*.
5 *ἐπιβάλοιτο* Reiske, *ἐπιβάλοι*.
8 *τῶν* Valesius, *τὸν*.
10 Ἀρταξίας Mueller collatis Strabone XI, p. 528, Appiano *Syr.* 45. 66, Polybio XXV, 2, 12 B.-W.; Hu., Diodoro XXXI, 22, Ἀρτάξης.

10-14 *Ὅτι—προσταττόμενον.*] Cum aestate vel autumno anni 166 a. Chr. n. Antiochus ierit in expeditionem, qua haec victoria parta est (cf. Niese III p. 216), patet eventus belli anno 166/5 enarratos esse; cf. Niese III p. 217.
De App. *Syr.* 45. 66 vide app. XXVI.

IV. RES ÆGYPTI.

Seditio in Ægypto.

Diod. XXXI, 17ᵇ Di.

Exc. de Insidiis 28, de Boor, p. 199 s.

Ὅτι πάλιν ἄλλη κίνησις συνέστη κατὰ τὴν Θηβαΐδα, ἐμπεσούσης ὁρμῆς τοῖς πλήθεσι πρὸς ἀπόστασιν. ὁ δὲ βασιλεὺς Πτολεμαῖος ἀναζεύξας ἐπ' αὐτοὺς μετὰ πολλῆς δυνάμεως, τὰ μὲν ἄλλα μέρη τῆς Θηβαΐδος ῥᾳδίως προσηγάγετο· τῆς δὲ καλουμένης Πανῶν πόλεως βεβηκυίας ἐπί τινος ἀρχαίου χώματος, καὶ δοκούσης ὀχυρᾶς εἶναι ἐκ δυσπροσίτου, συνέδραμον εἰς ταύτην οἱ πρακτικώτατοι τῶν ἀφεστηκότων. Πτολεμαῖος δὲ ‹καίπερ› τήν τε ἀπόνοιαν ἐν‹νοήσας› Αἰγυπτίων καὶ τοῦ τόπου τὴν ὀχυρότητα, συνίστατο πολιορκίαν καὶ πᾶσαν κακοπάθειαν ὑπομείνας ἐκράτησε τῆς πόλεως· καὶ κολάσας τοὺς αἰτίους ἐπανῆλθεν εἰς Ἀλεξάνδρειαν.

---

4 *τῆς δὲ* Mueller, *καὶ τῆς*.
5 Πανῶν—τινος edd. *πάνων πόλεως βεβηκίαν σίτινο*.
7 ‹καίπερ› add. Mueller. — ἐν‹νοήσας› suppl. idem.

1-10 *Ὅτι—Ἀλεξάνδρειαν.*] Quamquam hoc fragmentum (n. 28) arctissime cohaerere videtur cum eo, quod secundum antecedit ex rebus anni 167/6 petitum (vide supra p. 75), tamen, ne cum eo coniungamus intercedente fragmento n. 27, ex rebus Syriae anni 166/5 (vide p. 78) desumpto, prohibemur.

OLYMP. 153, 4.

I. RES ITALIÆ.

A. Legationes Prusiae et Asianorum.

Pol. XXX, 30 B.-W.; XXXI, 6 Hu. Liv. Periocha XLVI.

Exc. Urs. 90, de Boor p. 333 s.

30 (XXXI, 6) *Ὅτι εἰς τὴν Ῥώμην παραγεγονότων πρεσβευτῶν πλειόνων καὶ ἑτέρων, ἐπιφανεστάτων δὲ παρὰ μὲν Ῥοδίων τῶν περὶ Ἀστυμήδην, παρὰ δὲ τῶν Ἀχαιῶν τῶν περὶ Εὐρέαν καὶ Ἀναξίδαμον καὶ Σάτυρον, παρὰ δὲ Προυσίου τῶν περὶ Πύθωνα, τούτοις ἐχρημάτισεν*

2 *ἡ σύγκλητος. οἱ μὲν οὖν παρὰ τοῦ Προυσίου κατηγορίαν ἐποιοῦντ' Εὐμένους τοῦ βασιλέως, φάσκοντες*

legati Prusiae regis questi sunt de Eumene,

αὐτῶν τέ τινα χωρία παραιρεῖσθαι τὸν Εὐμένη καὶ τῆς Γαλατίας οὐκ ἀφίστασθαι τὸ παράπαν οὐδὲ πειθαρχεῖν τοῖς τῆς συγκλήτου δόγ-

3 *μασιν, ἀλλὰ τοὺς τὰ σφέτερα μὲν φρονοῦντας σωματοποιεῖν, τοὺς δὲ τὰ Ῥωμαίων αἱρουμένους καὶ βουλομένους πολιτεύεσθαι τοῖς τῆς συγκλήτου δόγμασιν ἀκολούθως κατὰ πάντα τρόπον ἐλαττοῦν.*

quod fines suos popularetur,

dixeruntque eum conspirasse cum Antiocho adversus populum Romanum.

4 *ἦσαν δέ τινες πρεσβευταὶ καὶ παρὰ τῶν τῆς Ἀσίας πόλεων, οἳ κατηγόρουν τοῦ βασιλέως, ἔμφασιν ποιοῦντες τῆς πρὸς τὸν Ἀντίοχον κοινοπραγίας.*

5 *ἡ δὲ σύγκλητος διακούσασα τῶν κατηγορούντων οὔτ' ἀπέρριπτε τὰς διαβολὰς οὔτ' ἐξέφαινε τὴν ἑαυτῆς γνώμην, ἀλλὰ συνετήρει παρ' ἑαυτῇ,*

6 *διαπιστοῦσα καθόλου τοῖς περὶ τὸν Εὐμένη καὶ τὸν Ἀντίοχον τοῖς γε μὴν Γαλάταις ἀεί τι προσετίθει καὶ συνεπίσχυε περὶ τῆς ἐλευθερίας.*

5-6 Ἀστυμήδην Ursinus, *ἀστυμίδην*.
11 ἐποιοῦντ' Benseler, *ἐποιοῦντο*.

1 Ὅτι e.q.s.] Excerptis Us. 90. 91, de Boor p. 333—337, narratione ad res Italiae redeunte iam annus tertius Olympiadis 153 absolutus est, novoque anno quarto haec fragmenta attribuenda sunt. Nec tamen n. 92, de Boor p. 337, quamquam itidem agit de rebus Italiae, ad eundem hunc annum referre licet. Tiberius enim, qui Cammanos subegit Ti. Sempronius Gracchus est, pater tribuni plebis, qui consul primum anno 177 a. Chr. n. post legatus missus, ut res Asiae inspiceret (supra p. 74), anno 163 a. Chr. n. iterum consul factus Ligures habuit provinciam (cf. Liv. *per.* XLVI v. 15). Cammani eidem sunt, qui Κομμανοί vel Κομανοί audiunt apud Ptolemaeum II, 10, 5, *Comani* apud Plinium III, 36, habitantque inter Massiliam et Nicaeam in ore Ligustica; cf. Metzung p. 11. Igitur a fragmento Us. 92 novus incipit annus, qui primus est novae Olympiadis 154, exorditurque ex more Polybiano, de quo supra dictum est (p. 1), novus liber, i.e. liber XXXI. Quocum optime congruit, quod legatio C. Sulpicii (Gali) de qua idem hoc fragmentum n. 92 post agit, teste Excerpto Valesiano 102, Roos p. 185 ex libro XXXI est desumptum (cf. p. 77). Ceterum ne sumamus Excerpta quoque Us. 90 et 91 anno primo Olympiadis 154 libroque XXXI Polybii attribui debere, hoc obstare videtur, quod legatio Rhodiorum societasque cum eis iuncta, de qua maior pars Exc. Us. 90 agit, teste periocha Livii XLVI anno 164 a. Chr. n. tribuenda est, cum in ea sequatur mentio lustri hoc anno conditi.

B. Rhodiorum Societas cum Romanis.

Pol. XXX, 31 B.-W.; XXXI, 7 Hu.

31 (XXXI, 7) *Μετὰ δὲ ταῦτα προσκαλεσαμένη τοὺς Ῥοδίους διήκουε*

2 *τούτων. ὁ δ' Ἀστυμήδης εἰσελθὼν μετρίως ἔστη καὶ βέλτιον ἢ κατὰ τὴν*

3 *πρὸ ταύτης πρεσβείαν· ἀφέμενος γὰρ τοῦ κατηγορεῖν ἄλλων ὥρμησεν*

5 μὲν transponit post τοὺς Dindorf, sed cf. Kuehner-Gerth II, 2³ p. 267.
19 προσκαλεσκμένη Ursinus, προσκαλεσάμενοι.
20 ἔστη cf. XXXIII, 6. 3 B.-W.; XVIII, 33, 4 B.-W.

1 popularetur] Ad crimen exasperandum hac voce Livius verbum παρκιρεῖσθκι vertere videtur.

10-12 dixeruntque—Romanum.] Hoc Polybius (§ 4) tradit de Asianis: ἔμφκσιν ποιοῦντες τῖς πρὸς τὸν Ἀντίοχον κοινοπρκγικς.

18 De verbis Polybii XXX, 30, 7—8 B.-W. (XXXI, 6, 7—8 Hu.) *οἱ δὲ περὶ τὸν Τεβέριον—φιλκνθρωπίκ* in Excerpto Us. 91, de Boor p. 336 post ἀκληρούντων (XXX, 32, 10 B.-W.; XXXI, 8, 10 Hu.) exstantibus, quae huc a Schweighaeusero perperam transposita sunt, vide suo loco, p. 85.

Pol. XXX, 31 B.-W.; XXXI, 7 Hu.

ἐπὶ τὸ παραιτεῖσθαι, καθάπερ οἱ μαστιγούμενοι τὰς πληγάς, φάσκων ἱκανοῖς προστίμοις περιπεπτωκέναι τὴν πατρίδα καὶ μείζοσι τῆς ἁμαρτίας. καὶ προσθέμενος ἐξηγεῖτο τὰς ἐλαττώσεις, κεφαλαιωδῶς διεξιών, πρῶτον μὲν ὅτι Λυκίαν καὶ Καρίαν ἀπολωλέκασιν, εἰς ἣν ἐξ ἀρχῆς μὲν ἐδαπάνησαν χρημάτων ἱκανὸν πλῆθος, τριττοὺς πολέμους ἀναγκασθέντες πολεμεῖν αὐτοῖς, νυνὶ δὲ προσόδων ἐστέρηνται πολλῶν ὧν ἐλάμβανον παρὰ τῶν προειρημένων. „ἀλλ' ἴσως" ἔφη „ταῦτα μὲν ἔχει λόγον· καὶ γὰρ ἐδώκαθ' ὑμεῖς αὐτὰ τῷ δήμῳ, μετὰ χάριτος ⟨διὰ⟩ τὴν εὔνοιαν, καὶ ἀφανίζοντες αὐτὰ κατὰ λόγον ἐδοκεῖτε τοῦτο πράττειν, ἐμπεσούσης τινὸς ὑποψίας καὶ διαφορᾶς ὑμῖν. ἀλλὰ Καῦνον δήπου διακοσίων ταλάντων ἐξηγοράσαμεν παρὰ τῶν Πτολεμαίου στρατηγῶν καὶ Στρατονίκειαν ἐλάβομεν ἐν μεγάλῃ χάριτι παρ' Ἀντιόχου καὶ Σελεύκου· καὶ παρὰ τούτων τῶν πόλεων ἀμφοτέρων ἑκατὸν καὶ εἴκοσι τάλαντα τῷ δήμῳ πρόσοδος ἔπιπτε καθ' ἕκαστον ἔτος. τούτων ἁπασῶν ἐστερήμεθα τῶν προσόδων, θέλοντες πειθαρχεῖν τοῖς ὑμετέροις προστάγμασιν. ἐξ ὧν μείζονα φόρον ἐπιτεθείκατε τοῖς Ῥοδίοις τῆς ἀγνοίας ἢ Μακεδόσι τοῖς διὰ παντὸς πολεμίοις ὑμῖν ὑπάρξασι. τὸ δὲ μέγιστον σύμπτωμα τῆς πόλεως· καταλέλυται γὰρ ἡ τοῦ λιμένος πρόσοδος, ὑμῶν Δῆλον μὲν ἀτελῆ πεποιηκότων, ἀφῃρημένων δὲ τὴν τοῦ δήμου παρρησίαν, δι' ἧς καὶ ⟨τὰ⟩ κατὰ τὸν λιμένα καὶ τἄλλα πάντα τῆς πόλεως ἐτύγχανε τῆς ἁρμοζούσης προστασίας. ὅτι δὲ τοῦτ' ἔστιν ἀληθὲς οὐ δυσχερὲς καταμαθεῖν· τοῦ γὰρ

6 προσόδων Ursinus, πρόσοδον.
8 ⟨διὰ⟩ add. Hultsch.
9 ἀφανίζοντες Schweighaeuser (de hiatu cf. Buettner-Wobst *Jahrbücher für classische Philologie* 1889 p. 689 s.), χαρίζοντες.
12 καί] τοῦ Niebuhr, vide infra.
19 ⟨τὰ⟩ add. Ursinus.

12 παρ' Ἀντιόχου καὶ Σελεύκου] Indicari videntur Seleucus Callinicus et Antiochus Hierax a fere 242—fere 239 iunctim regnantes Rhodiisque, qui eos in bello cum Ptolemaeo Euergete gesto adiuverant, ut verisimile est, beneficio obligati; cf. Beloch *Griechische Geschichte* III, 2 p. 455 s., v. Gelder *Geschichte der alten Rhodiër* p. 110 s. Antiochus Soter contra et Seleucus filius regnique consors nihil habuerunt, quoad scimus, cur urbem demum conditam Rhodiis concederent; (Beloch l.l.). Qui autem cum Niebuhrio καὶ in τοῦ mutato Liviique libro XXXVIII, 18, 20 nisus haec de Antiocho Magno dicta vult, has ob res errat, quod apud Livium de regionibus, quae iam diu in Rhodiorum possessione erant, sermo est, nec Antiochus Magnus, Philippi, qui tum Stratoniceam in dicione habuit, socius, hanc urbem dono dare poterat; cf. Beloch l.l., v. Gelder p. 197 s. Praeterea Στρατονίκειαν ἐλάβομεν παρ' Ἀντιόχου vix dici poterat de urbe, in cuius expugnatione Antiochus tantum auxiliatus est.

Pol. XXX, 31 B.-W.; XXXI, 7 Hu.

ἐλλιμενίου κατὰ τοὺς ἀνώτερον χρόνους εὑρίσκοντος ἑκατὸν μυριάδας δραχμῶν, νῦν εὕρηκε πεντεκαίδεκα μυριάδας, ὥστε καὶ λίαν, ὦ ἄνδρες Ῥωμαῖοι, τὴν ὑμετέραν ὀργὴν ἦφθαι τῶν κυρίων πόρων τῆς πόλεως. εἰ μὲν ⟨οὖν⟩ συμβεβήκει πάνδημον γεγονέναι τὴν ἁμαρτίαν καὶ τὴν ἀλλοτριότητα τοῦ δήμου, τάχ' ἴσως ἐδοκεῖτε καὶ ὑμεῖς εὐλόγως ἐπίμονον καὶ δυσπαραίτητον ἔχειν τὴν ὀργήν· εἰ δὲ σαφῶς ἴστε παντάπασιν ὀλίγους γεγονότας αἰτίους τῆς τοιαύτης ἀλογίας, καὶ τούτους ἅπαντας ἀπολωλότας ὑπ' αὐτοῦ τοῦ δήμου, τί πρὸς τοὺς μηδὲν αἰτίους ἀκαταλλάκτως ἔχετε, καὶ ταῦτα πρὸς τοὺς ἄλλους ἅπαντας εἶναι δοκοῦντες πραότατοι καὶ μεγαλοψυχότατοι; διόπερ, ὦ ἄνδρες, ἀπολωλεκὼς ὁ δῆμος τὰς προσόδους, τὴν παρρησίαν, τὴν ἰσολογίαν, ὑπὲρ ὧν τὸν πρὸ τοῦ χρόνον πᾶν ἀναδεχόμενος διατετέλεκεν, ἀξιοῖ καὶ δεῖται πάντων ὑμῶν, ἱκανὰς ἔχων πληγάς, λήξαντας τῆς ὀργῆς διαλυθῆναι καὶ συνθέσθαι τὴν συμμαχίαν, ἵνα γένηται τοῦτο συμφανὲς ἅπασιν ὅτι τὴν μὲν ὀργὴν ἀποτέθεισθε τὴν πρὸς Ῥοδίους, ἀνακεχωρήκατε δ' ἐπὶ τὴν ἐξ ἀρχῆς αἵρεσιν καὶ φιλίαν. τούτου γὰρ χρείαν ἔχει νῦν ὁ δῆμος, οὐ τῆς διὰ τῶν ὅπλων καὶ στρατιωτῶν συμμαχίας." ταῦτα μὲν οὖν καὶ τούτοις παραπλήσια διαλεχθεὶς Ἀστυμήδης ἐδόκει πρεπόντως τοῖς καιροῖς πεποιῆσθαι τοὺς λόγους· πλεῖστά γε μὴν συνήργησαν τοῖς Ῥοδίοις πρὸς τὸ τυχεῖν τῆς συμμαχίας οἱ περὶ τὸν Τεβέριον ἄρτι παραγεγονότες. οὗτοι γὰρ ἀπομαρτυρήσαντες πρῶτον μὲν πᾶσιν τοῖς τῆς συγκλήτου δόγμασι πεπειθαρχηκέναι τοὺς Ῥοδίους, ἔπειτα πάντας τοὺς αἰτίους τῆς ἀλλοτριότητος κατακεκρίσθαι

2 εὕρηκε Boissevain, εὑρίσκει Bekker, εὑρήκατε; vide comment.
3 πόρων Naber, τόπων.
4 μὲν Ursinus, μὴ. — ⟨οὖν⟩ add. Schweighaeuser.
5 τάχ' Buettner-Wobst, τάχα. — καί] κἂν Buettner-Wobst (*Jahrbücher für classische Philologie* 1889 p. 682 et 689) praeter necessitatem.
12 ἀναδεχόμενος Ursinus, ἀναδεχόμενοι.
14 συμφανὲς Buettner-Wobst, ἀμφανές.
20 Τεβέριον vide p. 74, 4.

2 εὕρηκε] v. Gelder *Geschichte der alten Rhodiër* p. 156 portorii fructum tanto opere diminutum esse haud credibile ducens Hultschii coniecturam ἀφηρήκατε amplectitur. At ipsa Polybii verba § 16 (ἀπολωλεκὼς ὁ δῆμος τὰς προσόδους) permagnam iacturam fecisse Rhodios indicant; nec, si paulo tantum plus quam septimam redituum portorii partem amisissent Rhodii, nescisset ipse Astymedes tam parvum damnum ad misericordiam senatus movendam vix quidquam valere; (cf. Beloch *Griechische Geschichte* III, 1, p. 308).

Pol. XXX, 31 B.W.; XXXI, 7 Hu. Liv. Periocha XLVI.

θανάτου παρ' αὐτοῖς, ἥττησαν τοὺς ἀντιλέγοντας καὶ ἐποιήσαντο τὴν πρὸς Ῥωμαίους συμμαχίαν. societas cum Rhodiis deprecantibus iuncta est.

C. Legatio Achaeorum.

Pol. XXX, 32 B.-W.; XXXI, 8 Hu.

Exc. Urs. 91, de Boor p. 336.

32 (XXXI, 8) Ὅτι μετά τινα χρόνον εἰσῆλθον οἱ παρὰ τῶν Ἀχαιῶν πρέσβεις, ἔχοντες ἐντολὰς ἀκολούθως ταῖς ἀποκρίσεσιν, αἷς πρότερον ἔλαβον· αὗται δ' ἦσαν διότι θαυμάζουσιν πῶς, ὑπὲρ ὧν αὐτοὶ κεκρίκασι, περὶ τούτων αὐτοὺς παρακαλοῦσιν κρίνειν. διὸ τότε παρῆσαν οἱ περὶ τὸν Εὐρέαν, πάλιν ἐξ ἀρχῆς ἐμφανίζοντες διότι τὸ μὲν ἔθνος οὔτε δικαιολογουμένων ἀκήκοε τῶν κατηγορουμένων οὔτε κρίσιν οὐδεμίαν πεποίηται περὶ αὐτῶν, τὴν δὲ σύγκλητον ἀξιοῖ πρόνοιαν ποιήσασθαι τῶν ἀνθρώπων, ἵνα κρίσεως τύχωσι καὶ μὴ καταφθαρῶσιν ἄκριτοι, καὶ μάλιστα μὲν αὐτὴν ἐξετάσασαν διασαφῆσαι τοὺς ἐνόχους ὄντας τοῖς ἐγκλήμασιν· εἰ δὲ διὰ τοὺς περισπασμοὺς αὐτὴ μὴ δύναται τοῦτο ποιῆσαι, τοῖς Ἀχαιοῖς ἐπιτρέψαι περὶ τοῦ πράγματος, οἳ πειράσονται μισοπονήρως χρήσασθαι τοῖς αἰτίοις. ἡ δὲ σύγκλητος διακούσασα τῶν πρεσβευτῶν, ἀκολούθως ταῖς ἐντολαῖς διαλεγομένων, καὶ δυσχρηστοῦσα διὰ τὸ πανταχόθεν ἐξελέγχεσθαι· τό τε γὰρ κρίνειν οὐκ ἐνόμιζεν αὐτῇ καθήκειν, τό τε χωρὶς κρίσεως ἀπολύειν τοὺς ἄνδρας πρόδηλον ἔχειν ἐδόκει τὸν ὄλεθρον τοῖς φίλοις αὐτῶν — διόπερ ἀναγκαζομένη καὶ βουλομένη παρελέσθαι καθόλου τὴν ἐλπίδα τῶν πολλῶν ὑπὲρ τῆς τῶν κατεχομένων σωτηρίας, ἵνα συμμύσαντες πειθαρχῶσιν ἐν μὲν Ἀχαΐᾳ τοῖς περὶ τὸν Καλλικράτην, ἐν δὲ τοῖς ἄλλοις πολιτεύμασι τοῖς δοκοῦσιν εἶναι Ῥωμαίων, ἔγραψαν ἀπόκρισιν τοιαύτην, ὅτι ἡμεῖς οὐχ ὑπολαμβάνομεν συμφέρειν οὐδὲ τοῖς ὑμετέροις δήμοις τούτους τοὺς

8 ἀρχῆς Casaubonus, αὐτῆσ.
9 δικαιολογουμένων Casaubonus, δικαιολογούμενον. — κατηγορουμένων Bekker, κατηγορωμένων.
13 περισπασμοὺς Ursinus, περισπασμένους. — αὐτὴ Ursinus, αὐτῇ.
19 διόπερ] aut ab epitomatore orationem in brevius contractam esse aut post parenthesin pauca intercidisse putat Hultsch; an forte anacoluthon ipsius Polybii?
21 συμμύσαντες Casaubonus, συμμιξαντεσ.
23 Ῥωμαίων] φίλοις addit Reiske, οἰκείοις Hultsch, sed comparat XXVIII, 5, 1 Buettner—Wobst.
24 οὐδὲ de Boor, οὔτε.—ὑμετέροις Ursinus, ἡμετέραισ.

Pol. XXX, 32 B.-W.; XXXI, 8 Hu.

ἄνδρας ἐπανελθεῖν εἰς οἶκον. ταύτης δὲ τῆς ἀποκρίσεως ἐκπεσούσης, οὐ μόνον περὶ τοὺς ἀνακεκλημένους ἐγένετό τις ὀλοσχερὴς ἀθυμία καὶ παράλυσις τῆς ψυχῆς, ἀλλὰ καὶ περὶ τοὺς Ἕλληνας ὡσανεὶ κοινόν τι πένθος, ἅτε δοκούσης τῆς ἀποκρίσεως ὁλοσχερῶς ἀφαιρεῖσθαι τὴν ἐλπίδα τῆς σωτηρίας τῶν ἀκληρούντων.

D. Legatio Tiberii.

Pol. XXX, 30, 7—8 B.-W.; XXXI, 6, 7—8 Hu.

οἱ δὲ περὶ τὸν Τεβέριον ἥκοντες ἀπὸ τῆς πρεσβείας οὐδὲν περιττότερον ἠδυνήθησαν οὔτ' αὐτοὶ διαλαβεῖν οὔτε τῇ συγκλήτῳ διασαφῆσαι περὶ τῶν κατὰ τὸν Εὐμένη καὶ τὸν Ἀντίοχον, ἥπερ ἃ καὶ πρότερον ὄντες ἐν τῇ Ῥώμῃ διελάμβανον. οὕτως αὐτοὺς οἱ βασιλεῖς ἐξετέμοντο τῇ κατὰ τὴν ἀπάντησιν φιλανθρωπίᾳ.

6 Τεβέριον vide p. 74.
8 ἥπερ Ursinus, ἤπερ.
10 φιλανθρωπίᾳ Ursinus, φιλανθρωπίαν.

6-10 οἱ—φιλανθρωπιᾳ.] Licet horum verborum transpositio, quam proposuit Schweighaeuser, post XXX, 30, 6 B.W. (XXXI, 6, 6 Hu.) (vide supra p. 81, 18) per se verisimillima videri possit, tamen probanda non est, quamquam probata ab omnibus editoribus. Primum enim haud facile explices, quo modo hic error in codicibus nasci potuerit, tum verba, quae transposita hac parte iam uno tenore legerentur, non cohaerent. ((10) ταύτης δὲ τῆς ἀποκρίσεως ἐκπεσούσης, οὐ μόνον περὶ τοὺς ἀνακεκλημένους ἐγένετό τις ὀλοσχερὴς ἀθυμία καὶ παράλυσις τῆς ψυχῆς, ἀλλὰ καὶ περὶ τοὺς Ἕλληνας ὡσανεὶ κοινόν τι πένθος, ἅτε δοκούσης τῆς ἀποκρίσεως ὁλοσχερῶς ἀφαιρεῖσθαι τὴν ἐλπίδα τῆς σωτηρίας τῶν ἀκληρούντων (11) κατὰ δὲ τὴν Ἑλλάδα διαγγελθείσης ⟨τῆς⟩ ἀποκρίσεως τῆς τοῖς Ἀχαιοῖς δεδομένης ὑπὲρ τῶν κατακιτιαθέντων, τὰ μὲν πλήθη συνετρίβη ταῖς διανοίαις, καὶ τις οἷον ἀπελπισμὸς ὑπέδραμεν τοὺς ἀνθρώπους, (12) οἱ δὲ περὶ τὸν Χάροπα καὶ Καλλικράτην καὶ πάντες οἱ τῆς αὐτῆς ὑποθέσεως προεστῶτες μετέωροι πάλιν ἐγενήθησαν.) Nam cum § 10 (XXX, 32 B.-W.; XXXI, 8 Hu.) iam commotio animorum depingitur senatus responso in vulgus edito exorta, § 11 idem repititur. Quod si quis contendere vellet § 10 dolorem depingi, quo afficerentur legati Graecorum ceterique Graeci Romae et in Italia consistentes, § 11 statum animorum in Graecia ipsa, respondendum est ne Polybium quidem, quamvis prolixo et verboso stilo utatur, postquam simpliciter scripsisset ταύτης τῆς ἀποκρίσεως ἐκπεσούσης et δοκούσης τῆς ἀποκρίσεως ὁλοσχερῶς ἀφαιρεῖσθαι κ.τ.λ., statim § 11 dicere potuisse διαγγελθείσης τῆς ἀποκρίσεως τῆς τοῖς Ἀχαιοῖς δεδομένης ὑπὲρ τῶν κατακιτιαθέντων. Igitur statuendum videtur totam hanc pericopen (οἱ δὲ περὶ τὸν

II. RES GRAECIA.

Commotio in Graecia.

Pol. XXX, 32, 11—12 B.-W.; XXXI, 8, 11—12 Hu.

11 *κατὰ δὲ τὴν Ἑλλάδα διαγγελθείσης ⟨τῆς⟩ ἀποκρίσεως τῆς τοῖς Ἀχαιοῖς*
δεδομένης ὑπὲρ τῶν καταιτιαθέντων, τὰ μὲν πλήθη συνετρίβη ταῖς δια-
12 *νοίαις, καί τις οἷον ἀπελπισμὸς ὑπέδραμεν τοὺς ἀνθρώπους, οἱ δὲ περὶ*
τὸν Χάροπα καὶ Καλλικράτην καὶ πάντες οἱ τῆς αὐτῆς ὑποθέσεως
προεστῶτες μετέωροι πάλιν ἐγενήθησαν. 5

---

1 ⟨τῆς⟩ add. Schweighaeuser.
4 Χάροπα Schweighaeuser, χάροπον.

Τεβέριον—πάλιν ἐγενήθησαν novum esse fragmentum, quod, quia, ut saepe factum est, omissa vocula ὅτι in archetypo scriptum esset, a librario saec. XVI cum fragmento autecedenti male coniungeretur; nisi credere mavis non semel, sed bis errasse librarium, inde a verbis κατὰ δὲ τὴν Ἑλλάδα quoque in archetypo novum incepisse fragmentum; (Boissevain).

1-5 κατὰ—ἐγενήθησαν.] Vide adnotationem antecedentem.

APPENDICES.

I. Diod. XXXI, 7 Dind. 9—10 Bekker.] Hoc caput duo fragmenta continet: Exc. Urs.$^{g.}$ 20 et 21, de Boor p. 402, ex quibus prius tantum (c. 7, 1 Dind; 9 Bekk.) secundum Nissenum huic Polybii loco inserendum est (Nissen p. 339), de altero nihil affirmatur. Attamen neutrum ex Polybio XXX, 1—3 fluxit, quamquam ét Bekkerus ét Dindorfius utrumque ante sententiam Aemilii Pauli (c. 8, 12 Dind; c. 14 Bekk.) positum rebus Italiae anni 168/167 attribuunt; sententia enim Aemilii Pauli = Pol. XXX, 14 B.-W.; 15 Hu. in rebus Graeciae anni 168 167 invenitur. Quod ad Urs.$^{g.}$ 20 attinet, eius quidem exordii vestigia quaedam Livius et XLV, 19, 1 *(inter multas regum gentiumque et populorum legationes* e.q.s.) et c. 20, 4 (*Inter multas Asiae Graeciaeque legationes* e.q.s.) servasse videtur, quae verba tamen cum priore loco ante legationem Attali, altero ante legationem Rhodiorum legantur, Exc. Urs.$^{g.}$ 20 apud Polybium aut c. 1—3 (legatio Attali) aut c. 3—4 (legatio Rhodiorum) inserendum foret nec *post* legationem Rhodiorum, ut in edendo Diodoro fecerunt Dindorf et Bekker. At revera desumptum est ex Polybii libro XXX, 19, 15 B.-W. (20, 15 Hu.); vide p, 63. Fragmenti Urs.$^{g.}$ 21 verba tam similia sunt Polybii libro XXXI, 9, ut inde derivatum esse ipse Dindorfius^{2} p. 632 adnotet.

Dindorfium antea et Bekkerum in errorem induxisse videtur ordo excerptorum Ursinianorum ex utroque legationum titulo a primo editore mixtim, ut notum est, edita.

In codicibus cum se excipiant tituli Urs$^{g.}$

n. 19 de Boor = Diod. XXXI, 5, 3
n. 20 „ „ = „ XXXI, 7, 1
n. 21 „ „ = „ XXXI, 7, 2
n. 22 „ „ = „ XXXI, 23

exque titulo Urs.$^{r.}$ unicum tantum fragmentum supersit = Diod. XXXI, 15, 2, haec ita edidit Ursinus:

Urs.$^{g.}$ 19 [= Diod. XXXI, 5, 3 (ex Pol. XXX, 4, 5)
Urs.$^{g.}$ 20 = „ XXXI, 7, 1 („ „ XXX, 20, 15)

Urs.[g]. 21 = Diod. XXXI, 7, 2 (ex Pol. XXXI, 9)
Urs.[r]. 1 = „ XXXI, 15, 2 („ „ XXX, 19, 1—7)
Urs.[g]. 22 = „ XXXI, 23 („ „ XXXII, 1)]

Iam quia et Urs.[g]. 20 et Urs.[r]. 1 ex Polybii libro XXX desumpta erant, consentaneum videbatur Urs.[g]. 21 quoque, quod intermedium erat, eodem libro tribuere, et quia Urs.[g]. 20, ut vidimus, perperam capiti 3 libri huius tricesimi attribuerant, Urs.[g]. 21 quoque eodem fere loco collocandum censuerunt.

II. Liv. XLV, 20, 4—25, 4 Inter—permanerent.] Haec capita ex Polybio hausta non sunt, ut apparet ex ordine argumentorum, ex argumentis ipis, ex verbis narrationis. Nam, *a*. Polybius XXX, 4, 1 *duas* legationes novit, quarum principes sunt: prioris *Philocrates*, alterius *Philophron* et *Astymedes*, Livius *unam* tantum, cuius principes sunt *Philocrates* et *Astymedes*. *b*. Multo gravior, quam apud Polybium (c. 4, 3), angor Rhodiorum apud Livium (c. 20, 5 ss.) describitur fuse exponentem, qua de re primo in veste candida visi sint Rhodii, at postea sordidam sumpserint, quam vestis mutationem postea demum enarrat Polybius (§ 5). *c*. Multa habet Livius (c. 21) de novo maloque exemplo et a praetore et a tribunis plebis (quorum nomina quoque affert) dato, multo brevior est Polybius (c. 4, 4). *d*. Orationem apud Livium (c. 22—24) sive Astymedis sive alius Rhodii legati (fortasse Philocratis) esse putas, neutrius verba a Polybio uberius reddita esse verisimile est; cf. p. 9. e. Polyb. XXX, 4, 2. 7. 8 deest apud Livium, contra Liv. c. 25, 1—3 apud Polybium.

III. Pol. XXX, 6—9 *Ὅτι-καιρούς*.] Schweighaeuser Polybium (c. 6, 5) cum Livio (XLV, 31, 4) comparans hanc eclogam libro XXX Polybii rebusque anni 168 167 in Italia gestis attribuit; sed multo melius Livii locus ad Pol. c. 10, 2 ss. refertur (vide p. 24 s.; Metzung p. 7 ss.). Livius, porro, l.l. de rebus Italiae 168 167 non agit; iam enim caput 26 initium rerum Graeciae eius anni continet. Quia autem omnia, quae capitibus 6—9 de Polyarato narrantur, optime anno 169/168 gesta esse possunt, nec quicquam est, cur non ea, ut ceteras eiusdem anni res, libro XXIX tradita putemus, recte Metzung l.l. et eum secutus v. Gelder *Geschichte der alten Rhodier* p. 153, hanc eclogam libro illi attribuunt. Codex autem Peirescianus tantum abest, ut huic opinioni adversatur, ut eam potius affirmare videatur. Fragmento enim, quod praecedit, n. 97, p. 179 Roos, in codice antepositum est

λόγος κη et recte libro XXVIII attribuitur, fragmenta autem 99, 100, 101 ex libro XXX desumpta sunt, ut hoc fragmentum, quod est n. 98, nostro iure libro XXIX attribuere liceat. Postremo verba *περίστασις* et *μεταβολή* capitis 6, 2 ad rerum statum Persei cladi proximum spectare videntur.

IV. Plut. *Aem. Paul.* c. 28.] Cf. Nissen p. 303, qui satis dubius „*c. 28 scheint aus Polybius zu stammen.*" Sed accurata comparatio cum Schwarzio p. 49 ss. facere cogit. Haec sunt verba Plutarchi (§ 1. 2) cum Livio comparanda:

ἐκ τούτου τὴν μὲν στρατιὰν πρὸς ἀνάπαυσιν, αὐτὸν δὲ πρὸς θέαν τῆς Ἑλλάδος ἔτρεψε καὶ διαγωγὴν ἔνδοξον ἅμα καὶ φιλάνθρωπον. ἐπιὼν γὰρ ἀνελάμβανε τοὺς δήμους καὶ τὰ πολιτεύματα καθίστατο καὶ δωρεὰς ἐδίδου ταῖς μὲν σῖτον ἐκ τοῦ βασιλικοῦ, ταῖς δ' ἔλαιον. τοσοῦτον γὰρ εὑρεθῆναί φασιν ἀποκείμενον, ὥστε τοὺς λαμβάνοντας καὶ δεομένους ἐπιλιπεῖν πρότερον ἢ καταναλωθῆναι τὸ πλῆθος τῶν εὑρεθέντων. ἐν δὲ Δελφοῖς ἰδὼν κίονα μέγαν τετράγωνον ἐκ λίθων λευκῶν συνηρμοσμένον, ἐφ' οὗ Περσέως ἔμελλε χρυσοῦς ἀνδριὰς τίθεσθαι, προσέταξε τὸν αὐτοῦ τεθῆναι· τοὺς γὰρ ἡττημένους τοῖς νικῶσιν ἐξίστασθαι χώρας προσήκειν.

E quibus *καὶ διαγωγὴν—φιλάνθρωπον* (2) nec apud Livium inveniuntur nec apud alium quemquam. Quod ad 3—7 *ἐπιὼν—εὑρεθέντων*, loquitur quidem Livius de copia rerum et vilitate annonae et de donis privatis, civitatibus, gentibus datis, verum c. 33, 4 demum *post* ludos Amphipoli actos; contra Plutarchus agit de frumento oleoque in ipsa Graeciae peragratione civitatibus dato. Nec quod Plutarchus tradit de Delphis a Paulo visitatis cum Polybii ipsius fragmento vel cum Livio congruit. Columnas (plurali numero) non novit Plutarchus, contra unam, quam habet, quadriangulam et e lapide factam perhibet, in qua auream Perseus statuam collocaturus fuisset. Postremo verbis 9—10 *τοὺς γὰρ—προσήκειν* Plutarchus Aemilium Paulum arrogantissimum facit, qualem Polybius nusquam eum pingit. Igitur Plutarchea haec ex Polybio manasse non videntur.

V. Plut. *Aem. Paul.* c. 28.] Urbibus, quas Aemilius Paulus deinceps adiit, silentio praetermissis omnibus, hoc tantum habet Plutarchus (§ 2):

ἐν δ' Ὀλυμπίᾳ τοῦτο δὴ τὸ πολυθρύλητον ἐκεῖνον ἀναφθέγξασθαί φασιν, ὡς τὸν Ὁμήρου Δία Φειδίας ἀποπλάσαιτο.

Quae quamquam cum Polybio magis congruunt, quam Livii verba, tamen Polybium ante oculos habuisse Plutarchum vix credo; cf. *τὸ πολυθρύλητον*.

VI. Diod. XXXI, 8, 1—5. *Ὅτι οἱ Ῥωμαῖοι ἐν τοῖς ἔμπροσθεν χρόνοις τῶν μεγίστων βασιλέων Ἀντιόχου καὶ Φιλίππου πολέμῳ περιγενόμενοι τοσοῦτον ἀπέσχοντο τοῦ τιμωρίαν λαμβάνειν παρ' αὐτῶν, ὥστε μὴ μόνον συγχωρῆσαι τὰς βασιλείας ἔχειν, ἀλλὰ καὶ φίλους αὐτοὺς ποιήσασθαι. ἐν δὲ τούτοις τοῖς χρόνοις, προδιηγωνισμένοι πολλάκις πρὸς Περσέα καὶ κινδύνους μεγάλους ὑπομεμενηκότες, ἐπειδὴ τῆς Μακεδόνων βασιλείας ἐκράτησαν, ἐλευθέρας ἀφῆκαν τὰς ἁλούσας πόλεις παρὰ τὴν ἁπάντων προσδοκίαν. οὐ γάρ οἷον τῶν ἄλλων ὑπέλαβεν ἄν τις, ἀλλ' οὐδ' αὐτοὶ Μακεδόνες ἤλπιζον ἀξιωθήσεσθαι τηλικαύτης φιλανθρωπίας, συνειδότες αὑτοῖς πολλὰ καὶ μεγάλα παρανενομηκόσιν εἰς Ῥωμαίους. τετυχηκότες γὰρ ἐπὶ τοῖς πρότερον ἀγνοήμασι συγγνώμης, εἰκότως ἂν τοῖς ὕστερον ἁμαρτήμασιν ὑπελάμβανον ἑαυτοῖς μηδένα λόγον δίκαιον εἰς ἔλεον καὶ παραίτησιν ἀπολελεῖφθαι. οὐ μὴν ἡ σύγκλητος ἡ τῶν Ῥωμαίων ἐμνησικάκησεν, ἀλλὰ μεγαλοψύχως καὶ προσηκόντως ἑκάστοις προσηνέχθη. Περσέα μὲν γὰρ ἐκ προγόνων ὀφείλοντα χάριτας, ἐπειδὴ παρὰ τὰς συνθήκας ἄδικον ἐξήνεγκε πόλεμον, λαβόντες αἰχμάλωτον εἰς ἐλευθέραν ἀπέθεντο φυλακήν, ἐλάττονά γε τῶν παρανομημάτων λαμβάνοντες τιμωρίαν· τὸ δὲ τῶν Μακεδόνων ἔθνος εἰς δουλείαν δικαίως ἂν ἄγοντες, ἠλευθέρωσαν, οὕτως εὐγενῶς καὶ ταχέως προέμενοι τὴν εὐεργεσίαν ὥστε μηδὲ παρὰ τῶν ἑπταικότων δέησιν ἀναμεῖναι. ὁμοίως καὶ τῶν Ἰλλυριῶν πολέμῳ κρατήσαντες αὐτονόμους ἀφῆκαν, οὐχ οὕτως ἀξίους ἡγούμενοι χάριτος τοὺς βαρβάρους ὡς ἑαυτοῖς προσήκειν νομίζοντες κατάρχειν εὐεργεσίας καὶ μὴ μεγάλα φρονεῖν ἐν ταῖς ἐξουσίαις.* (Exc. Val. n. 275, Buettner-Wobst p. 280 s.)

3 *Ὅτι ἔδοξε τῇ συγκλήτῳ τούς τε Μακεδόνας καὶ τοὺς Ἰλλυριοὺς ἐλευθέρους ἀφεῖναι τὰ ἡμίση διδόντας ὧν πρότερον ἐτέλουν τοῖς ἰδίοις βασιλεῦσιν.* (Exc. Val. n. 276 Buettner-Wobst p. 281)

4 *Αἰμίλιος Μάρκος Ῥωμαίων ὕπατος καὶ ἄριστος στρατηγός, Περσέα λαβὼν αἰχμάλωτον, τοῦτον μὲν ἄδικον πρὸς Ῥωμαίους ἐξαγαγόντα παρὰ τὰς συνθήκας πόλεμον εἰς ἐλευθέραν ἀπέθετο φυλακήν,*

τὰς δὲ πόλεις Μακεδόνων καὶ Ἰλλυριῶν ἁλούσας παρ' ἐλπίδα πάσας ἐλευθέρας ἀφῆκεν, καίτοι μεγάλους κινδύνους ὑπομεινάντων Ῥωμαίων πολλάκις ἐν τοῖς πρὸς Περσέα πολέμοις, καὶ πρό γε τούτου κρατήσαντες πολέμῳ Φιλίππου τοῦ πατρὸς αὐτοῦ καὶ Ἀντιόχου τοῦ μεγάλου, καὶ τοσοῦτον ἐπ' αὐτοῖς φιλανθρωπευθέντων ὡς μὴ μόνον τὰς βασιλείας αὐτῶν ἔχειν, ἀλλὰ καὶ φίλους αὐτοὺς εἶναι συγχωρῆσαι· ἐφ' οἷς ἑαυτοὺς Μακεδόνες ἀγνωμονήσαντες ἀναξίους ἐδόκουν ἔσεσθαι παντὸς ἐλέους χειρωθέντες Ῥωμαίοις σὺν τῷ Περσεῖ. ἀλλ' ἡ σύγκλητος ἀμνησικάκως καὶ μεγαλοψύχως αὐτοῖς προσηνέχθη, τὴν ἐλευθερίαν ἀντὶ δουλείας χαρισαμένη, ὁμοίως δὲ καὶ τοῖς Ἰλλυριοῖς· καὶ τούτων γὰρ τὸν βασιλέα Γεντίωνα αἰχμάλωτον ἔλαβον σὺν τῷ Περσεῖ. εὐγενῶς οὖν αὐτοῖς Ῥωμαῖοι τὴν ἐλευθερίαν χαρισάμενοι τὰ ἡμίση δίδειν τῶν τελῶν προσέταξαν ὧν πρότερον ἐτέλουν τοῖς ἰδίοις βασιλεῦσιν. (Georg. Syncell. Chron. p. 267).

Cum senatus consultum paragrapho 3 memoratum verisimillimum sit statim post victoriam Persei nuntiatam factum esse, quia consentaneum est omnium primum sortem Macedoniae senatui curae fuisse et Aemilium Paulum quam primum, quid faceret, certiorem faciendum fuisse, patet hoc fragmentum ad annum 169/168 pertinere (vide pag. 1), id est ad librum XXIX Polybii. Quocum convenit Polybius in rebus Italiae illius anni statim post victoriam allatam, ut ex initio fragmenti apparet, senatum commemorans (c. 19 B.-W.). Quae si recte disputata sunt, et Diodori verba antecedentia (c. 8, 1—2) et sequentia Syncelli, fere ad verbum cum c. 8, 1—3 congruentia, ex Polybii libro XXIX desumpta esse necesseario statuendum.

VII. Plut. *Aem. Paul.* 28.] *τῶν δὲ δέκα πρέσβεων ἐκ Ῥώμης ἀφικομένων Μακεδόσι μὲν ἀπέδωκε τὴν χώραν καὶ τὰς πόλεις ἐλευθέρας οἰκεῖν καὶ αὐτονόμους, ἑκατὸν δὲ τάλαντα Ῥωμαίοις ὑποτελεῖν, οὗ πλέον ἢ διπλάσιον τοῖς βασιλεῦσιν εἰσέφερον.*

In memoranda tributi summa plus praebet Plutarchus, quam Diodorus et Livius (Schwarze p. 52), minora contra in decretis enumerandis; etiam incertum illud *οὗ πλέον ἢ διπλάσιον* discrepat. Plutarchus haec ex Polybio hausisse non videtur.

VIII. Just. XXXIII, 2, 7. *Ita cum in dicionem Romanorum cessisset, magistratibus per singulas civitates constitutis libera facta*

est legesque, quibus adhuc utitur, a Paulo accepit.] Quamquam ex his tantopere contractis nihil pro certo efficere possumus, tamen, cum etiam sequentia (vide app. X) ex Polybio manasse non videantur, haec quoque Polybio attribuenda non sunt.

IX. Strab. VII fragm. 48. *Παῦλος μὲν οὖν ὁ τὸν Περσέα ἑλὼν συνάψας τῇ Μακεδονίᾳ καὶ τὰ Ἠπειρωτικὰ ἔθνη εἰς τέτταρα μέρη διέταξε τὴν χώραν, καὶ τὸ μὲν προσένειμεν Ἀμφιπόλει, τὸ δὲ Θεσσαλονικείᾳ, τὸ δὲ Πέλλῃ, τὸ δὲ Πελαγόσι.*

Cum nec Livius (c. 26, 15) in Illyrici nec Diodorus (c. 8, 7) Liviusve (c. 29, 5—9) in Macedoniae divisione Illyricum Macedoniae adiunctum fuisse perhibeant, cumque praeterea apud eos illae quattuor urbes capita regionum nominentur, contra apud Strabonem regiones urbibus attributae sint, Pelagoniaque urbs in gentem Pelagonum abierit, haec ex Polybio hausta esse verisimile non est.

X. Just. XXXIII, 2, 8. *Aetolorum universarum urbium senatus cum coniugibus et liberis, quia dubia fide fuerat, Romam missus, ibique, ne in patria aliquid novaret, diu detentus, aegreque post multos annos legationibus civitatium senatu fatigato in patriam quisque suam remissus est.*

Haec ex Polybio non fluxerunt; hic enim (XXX, 13, 6—7) et Livius (XLV, 31, 9—11) non Aetolos tantum verum omnes civitates memorant unde cives ad causam Romae dicendam evocati sunt.

XI. Plut. *Aem. Paul.* 28, 3—7. *θέας δὲ παντοδαπῶν ἀγώνων καὶ θυσίας ἐπιτελῶν τοῖς θεοῖς ἑστιάσεις καὶ δεῖπνα προὔθετο, χορηγίᾳ μὲν ἐκ τῶν βασιλικῶν ἀφθόνῳ χρώμενος, τάξιν δὲ καὶ κόσμον καὶ κατακλίσεις καὶ δεξιώσεις καὶ τὴν πρὸς ἕκαστον αὐτοῦ τῆς κατ' ἀξίαν τιμῆς καὶ φιλοφροσύνης αἴσθησιν οὕτως ἀκριβῆ καὶ πεφροντισμένην ἐνδεικνύμενος, ὥστε θαυμάζειν τοὺς Ἕλληνας, εἰ μηδὲ τὴν παιδιὰν ἄμοιρον ἀπολείπει σπουδῆς, ἀλλὰ τηλικαῦτα πράττων ἀνὴρ πράγματα καὶ τοῖς μικροῖς τὸ πρέπον ἀποδίδωσιν. ὁ δὲ καὶ τούτοις ἔχαιρεν, ὅτι πολλῶν παρεσκευασμένων καὶ λαμπρῶν τὸ ἥδιστον αὐτὸς ἦν ἀπόλαυσμα καὶ θέαμα τοῖς παροῦσι, καὶ πρὸς τοὺς θαυμάζοντας τὴν ἐπιμέλειαν ἔλεγε τῆς αὐτῆς εἶναι ψυχῆς παρατάξεώς τε προστῆναι καλῶς καὶ συμποσίου, τῆς μέν, ὅπως φοβερωτάτη τοῖς πολεμίοις, τοῦ δ', ὡς εὐχαριστότατον ᾖ τοῖς συνοῦσιν.*

οὐδενὸς δ' ἧττον αὐτοῦ τὴν ἐλευθεριότητα καὶ τὴν μεγαλοψυχίαν ἐπῄνουν οἱ ἄνθρωποι, πολὺ μὲν ἀργύριον, πολὺ δὲ χρυσίον ἐκ τῶν βασιλικῶν ἠθροισμένον οὐδ' ἰδεῖν ἐθελήσαντος, ἀλλὰ τοῖς ταμίαις εἰς τὸ δημόσιον παραδόντος. μόνα τὰ βιβλία τοῦ βασιλέως φιλογραμματοῦσι τοῖς υἱέσιν ἐπέτρεψεν ἐξελέσθαι, καὶ διανέμων ἀριστεῖα τῆς μάχης Αἰλίῳ Τουβέρωνι τῷ γαμβρῷ φιάλην ἔδωκε πέντε λιτρῶν ὁλκήν. οὗτός ἐστι Τουβέρων, ὃν ἔφαμεν μετὰ συγγενῶν οἰκεῖν ἑκκαιδέκατον, ἀπὸ γηδίου μικροῦ διατρεφομένων ἁπάντων. καὶ πρῶτον ἄργυρον ἐκεῖνόν φασιν εἰς τὸν Αἰλίων οἶκον εἰσελθεῖν, ὑπ' ἀρετῆς καὶ τιμῆς εἰσαγόμενον, τὸν δ' ἄλλον χρόνον οὔτ' αὐτοὺς οὔτε ⟨τὰς⟩ γυναῖκας ἀργυρίου χρῄζειν ἢ χρυσοῦ.

Haec aut aliter aut copiosius, quam apud Livium (XLV, 32, 8—11) et Diodorum (XXXI, 8, 8; 8, 12), enarrata, Nisseno (p. 303) nullo argumento uso ex Polybio hausta videntur. Nam, quod attinet ad 10—12 *καὶ—συμποσίου*, quibuscum conferenda sunt Polybii c. 14 (15), Livii c. 31, 11, Diodori c. 8, 12 (supra p. 30), haec ex quovis sententiarum corpore aut ex quavis Aemilii vita fluxisse possunt; cf. Schwarze p. 52.

XII. Appiani *Illyr.* 9. *Ἑβδομήκοντα δ' αὐτοῦ πόλεις οὔσας Αἰμίλιος Παῦλος ὁ τὸν Περσέα ἑλών, τῆς βουλῆς ἐπιστειλάσης ἐν ἀπορρήτῳ, ἐπανιὼν ἐς Ῥώμην παρώδευεν ἐπίτηδες, καὶ δεδιόσιν αὐτοῖς ὑπέσχετο συγγνώσεσθαι τῶν γεγονότων, ἐὰν ὅσον ἔχουσιν ἀργύριόν τε καὶ χρυσίον ἐσενέγκωσιν. ὑποδεξαμένων δ' ἐκείνων συνέπεμπεν αὐτοῖς τοῦ στρατοῦ μέρος ἐς πόλιν ἑκάστην, ὁρίσας ἡμέραν τοῖς στρατηγοῦσι τοῦ στρατοῦ πᾶσι τὴν αὐτὴν καὶ ἐντειλάμενος ἅμα ἕῳ κηρύσσειν ἕκαστον ἐν ἑκάστῃ πόλει τρισὶν ὥραις ἐς τὴν ἀγορὰν τὰ χρήματα φέρειν, συνενεγκόντων δὲ τὰ λοιπὰ διαρπάσαι. οὕτω μὲν ὁ Παῦλος ἑβδομήκοντα πόλεις διήρπασεν ὥρᾳ μιᾷ.*

In hisce verbis Appianum Polybium ipsum ante oculos habuisse verisimile non est. Nusquam enim alibi legimus Paulum illas septuaginta urbes praetergressum esse, nec magis Epirotas veniae adipiscendae causa aurum atque argentum proferre iussos fuisse; contra omissio numeri hominum venditorum a Nisseno p. 277 brevitatis studio attributa explicanda vix videtur in scriptore, cui Polybius ad manum esset.

XIII. Plin. *h. n.* IV, 39 *haec eadem est Macedonia, cuius uno die Paulus Aemilius imperator noster LXXII urbes direptas vendidit.*

Cum nec exactus numerus urbium direptarum nec *uno die* pro *una hora* alibi usquam inveniatur, ineptumque sit tam Macedonia pro Epiro substituta quam *vendidit* de urbibus dictum, haec ex Polybio non fluxerunt.

XIV. Pol. XXIX, 27.] Steigemann *De Polybii Olympiadum ratione* p. 11 s. fragmentum hoc (Exc. Urs.$^{r.}$, de Boor p. 55), quod ei in fine *τέλος τοῦ λ' λόγου* subscriptum sit, libro tribuit XXX, inserendum in res orientis anni 168/7. Nissenus (p. 339) contra fragmentum aliquod ex libro XXX desumptum, cui subsciptio illa in archetypo additum esset, excidisse putat. Rectius Buettner-Wobst (ad Polybium IV p. 270) ea subscriptio hoc tantum significare autumat: sextam pentadem desinere; recte enim observasse Hultschium nullam epitomam ex libro XXX ab eclogariis huius tituli desumptam esse. Eadem ratione in fine libri XXVIII in iisdem codicibus additum esse *τέλος τῆς πολυβίου ἱστορίας*, quod ex sequentibus libris nulla ecloga hausta esset.

Steigemannum autem omnino errasse patet ex hisce: Diodori excerptum Maianum 353, Boissevain p. 370, ex hoc, quo de agitur, Polybii fragmento desumptum, praecedit Diodori excerpto Maiano 356, Boissevain p. 372, quod certum suum habet locum in rebus Italiae a. 168/7 (vide supra p. 9), a quibus rebus liber XXX Polybii incipit; cf. p. 1. Sequitur, ut et Polybii fragmentum et Diodori Exc. Mai. 353, libro XXIX tribuendum sit.

XV. Liv. XLV, 37, 2—39, 2 Servius—traditurі.] Haec ornamenta oratoria, quorum ne argumenta quidem ex Polybio hausta sunt, in Polybio restituendo omisi.

XVI. Liv. XLV, 40, 1—5 (pars reliqua triumphi Pauli), c. 24, 2—3 (Cn. Octavii triumphus kalendis Decembribus), c. 43 (L. Anicii triumphus Quirinalibus); Plut. *Aem. Paul.* c. 32—34 *οὕτω—ἔχουσιν.*] Si Livium atque Plutarchum cum Syncello e Diodoro (XXXI, 8, 9—12) in hac historiae parte unum Polybium sequenti comparamus, duas ob causas impedimur, ne credamus etiam hos ex Polybio hausisse. Primum, ordo, quo duces Romani triumphaverunt apud Syncellum prorsus alius est, neque *Acta triumphalia Capitolina* C. I. L. I p. 459 (ed.^{2} p. 48), quae scriptoribus deterioribus Valerio Antiate, Licinio Macro, aliis saepe niti notum est (Wachsmuth *Einleitung in das Studium der alten Geschichte* p. 635 s.) satis auctoritatis habent, ut Diodorum evertant. Tum non solum primum triumphi diem cum secundo sed etiam res iis diebus in triumpho productas Livius ac Plutarchus commutant. Quo modo autem Livii Plutarchique discrepantiae inde profectae esse possint, quod Diodorus aut Syncellus librum, quem sibi proposuerat compilandum, brevissime contraxerit (Schwarze p. 66), non video.

XVII. Liv. XLV, 42, 4. *Senatus deinde habitus est. patres censuerunt, ut Q. Cassius Persea regem cum Alexandro filio Albam in custodiam duceret; comites, pecuniam, argentum, instrumentum, quod haberet, nihil ‹detrahens habere sineret;›.*

Haec Polybio non deberi inde patet, quod secundum eum etiam alter filius Persei, Philippus, cum patre Albam ductus est; cf. Pol. XXXVII, 2, 3 Hu.

XVIII Plut. *Aem. Paul.* c. 37. *Οὕτω μὲν εὐγενεῖς καὶ μεγάλους λόγους τὸν Αἰμίλιον ἐξ ἁπλάστου καὶ ἀληθινοῦ φρονήματος ἐν τῷ δήμῳ διαλεχθῆναι λέγουσι. τῷ δὲ Περσεῖ, καίπερ οἰκτείρας τὴν μεταβολὴν καὶ μάλα βοηθῆσαι προθυμηθείς, οὐδὲν εὗρετο πλὴν μεταστάσεως ἐκ τοῦ καλουμένου κάρκερε παρ' αὐτοῖς εἰς τόπον καθαρὸν καὶ φιλανθρωποτέραν δίαιταν, ὅπου φρουρούμενος, ὡς μὲν οἱ πλεῖστοι γεγράφασιν, ἀπεκαρτέρησεν, ἔνιοι δὲ τῆς τελευτῆς ἴδιόν τινα καὶ παρηλλαγμένον τρόπον ἱστοροῦσι. μεμψαμένους γάρ τι καὶ θυμωθέντας αὐτῷ τοὺς περὶ τὸ σῶμα στρατιώτας, ὡς ἕτερον οὐδὲν ἠδύναντο λυπεῖν καὶ κακοῦν αὐτόν, ἐξείργειν τῶν ὕπνων, καὶ προσέχοντας ἀκριβῶς ἐνίστασθαι ταῖς καταφοραῖς καὶ συνέχειν ἐγρηγορότα πάσῃ μηχανῇ, μέχρι οὗ τοῦτον τὸν τρόπον ἐκπονηθεὶς ἐτελεύτησεν. ἐτελεύτησε δὲ καὶ τῶν παιδίων τὰ δύο. τὸν δὲ τρίτον, Ἀλέξανδρον, εὐφυᾶ μὲν ἐν τῷ τορεύειν καὶ λεπτουργεῖν γενέσθαι φασίν, ἐκμαθόντα δὲ τὰ Ῥωμαϊκὰ γράμματα καὶ τὴν διάλεκτον ὑπογραμματεύειν τοῖς ἄρχουσιν, ἐπιδέξιον καὶ χαρίεντα περὶ ταύτην τὴν ὑπηρεσίαν ἐξεταζόμενον.*

Haec in rebus quidem consentiunt cum Diod. XXXI, 9, 1—7, sed ex Polybio manasse non videntur; primum enim verba *ἐκ τοῦ καλουμένου κάρκερε παρ' αὐτοῖς* verisimile faciunt Plutarchum pendere ex auctore, qui Latina usus erat lingua, verba Latina e *carcere*, ablativi forma minime

ad linguam Graecam transformata, mutuantem (Schwarze p. 73); tum abest sententia de hominibus plus aequo vitam amantibus, quae Polybium sapit (vide p. 47, 15); deinde ne verbum quidem Plutarcho cum Diodoro commune est; postremo eorum, quae habet Diodorus c. 9, 2—3 nihil est apud Plutarchum, contra Plutarchus multo fusius agit de fine Persei. Quod autem attinet ad extrema Plutarchi (13—17 *ἐτελεύτησε—ἐξεταζόμενον*), nihil habemus, cur haec Polybio attribuamus.

XIX. Diod. XXXI, 10. *Ὅτι ἀκμαζούσης τῆς τῶν Μακεδόνων βασιλείας Δημήτριος ὁ Φαληρεὺς ἐν τῷ περὶ τύχης ὑπομνήματι καθάπερ χρησμῳδῶν ὑπὲρ τῶν αὐτῇ συμβησομένων εὐστόχως τούτους τοὺς λόγους ἀποπεφοίβακεν „εἰ γὰρ λάβοις πρὸ τῆς ἐννοίας μὴ χρόνον ἄπειρον μηδὲ γενεὰς πολλάς, ἀλλὰ πεντήκοντα μόνον ἔτη ταυτὶ τὰ πρὸ ἡμῶν, γνοίης ἂν ὡς τὸ τῆς τύχης χαλεπὸν ἐνταῦθα· πεντηκοστῷ γὰρ ἔτει πρότερον οἴεσθ' ἂν ἢ Πέρσας ἢ βασιλέα τῶν Περσῶν ἢ Μακεδόνας ἢ βασιλέα τῶν Μακεδόνων, εἴ τις θεῶν αὐτοῖς προύλεγε τὸ μέλλον, πιστεῦσαί ποτ' ἂν ὡς εἰς τοῦτον τὸν καιρὸν Περσῶν μὲν οὐδ' ὄνομα λειφθήσεται τὸ παράπαν, οἳ πάσης σχεδὸν τῆς οἰκουμένης ἐδέσποζον, Μακεδόνες δὲ καὶ πάσης κρατήσουσιν, ὧν οὐδ' ὄνομα πρότερον ἦν γνώριμον; ἀλλ' ὅμως ἡ πρὸς τὸν βίον ἡμῶν ἀλογία τῆς τύχης καὶ πάντα παρὰ τὸν λογισμὸν τὸν ἡμέτερον καινοποιοῦσα καὶ τὴν αὐτῆς δύναμιν ἐν τοῖς ἐνδόξοις ἐνδεικνυμένη καὶ νῦν, ὡς ὁμοίως ἐνδείκνυται, Μακεδόνας εἰς τὴν Περσῶν ἡγεμονίαν ἐνοικίσασα διότι καὶ τούτοις ἡ τύχη τἀγαθὰ κέχρηκεν, ἕως ἂν ἄλλο τι βουλεύσηται περὶ αὐτῶν.'' ὃ συνέβη κατὰ τοὺς νῦν χρόνους συντελεσθῆναι. διόπερ καὶ ἡμεῖς ἐκρίναμεν τῇ περιστάσει ταύτῃ τὸν ἁρμόζοντα λόγον ἐπιφθέγξασθαι καὶ τῆς ἀποφάσεως τῆς Δημητρίου μνησθῆναι, μείζονος οὔσης ἢ κατ' ἄνθρωπον προεῖπε γὰρ ἑκατὸν καὶ πεντήκοντα ἔτεσι περὶ τῶν ὕστερον συμβησομένων.* (Exc. Mai. 360, Boissevain p. 373).

Hoc fragmentum, quod, seriem excerptorum Maianorum Diodori si spectas, ex Polybii libro XXX desumptum videri possit, cum in ea serie inveniatur post n. 359, Boissevain p. 372 agens de fato Persei Albam in captivitatem abducti (vide p. 47 ss.), tamen ex illo libro manasse nequit. Idem enim fere est ac Polybii Excerptum Maianum 125, Boissevain p. 194, quod, quoniam antecedit Excerpta 126, 127, 128, quorum

ultimum demum ad res Italiae anni Olympiadis 153, 1, id est ad initium libri XXX pertinet (vide p. 10), ex eodem libro XXIX desumptum esse patet, unde etiam fragmenta 126 et 127 excerpta sunt.

Polybius fortasse in describendo Persei fato ad verba sua libri XXIX, 21 hic respexit, quod advertens Diodorus verba a se suo loco praeterita huc inseruit.

XX. App. *Maced.* 19. *Ὅτι Παύλῳ, ἐπ' εὐτυχίας τοσῆσδε γενομένῳ τὸ δαιμόνιον ἐφθόνησε τῆς εὐτυχίας. καί οἱ τεσσάρων παίδων ὄντων, τοὺς μὲν πρεσβυτέρους αὐτῶν ἐς θέσιν ἄλλοις ἐδεδώκει, Μάξιμόν τε καὶ Σκιπίωνα· τοὺς δὲ νεωτέρους ἄμφω ⟨συνέβη⟩ τὸν μὲν πρὸ τριῶν ἡμερῶν τοῦ θριάμβου, τὸν δὲ μετὰ πέντε, ἀποθανεῖν. καὶ τοῦτ' οὐδενὸς ἧττον ὁ Παῦλος κατελογίσατο τῷ δήμῳ. ἔθους γὰρ ὄντος τοῖς στρατηγοῖς καταλέγειν τὰ πεπραγμένα, παρελθὼν ἐς τὴν ἀγορὰν εἶπεν ἐς μὲν Κέρκυραν ἐκ Βρεντεσίου διαπλεῦσαι μᾶς ἡμέρας, ἐκ δὲ Κερκύρας πέντε μὲν ἐς Δελφοὺς ὁδεῦσαι καὶ θῦσαι τῷ θεῷ, πέντε δὲ ἄλλας ἐς Θεσσαλίαν παραγενέσθαι καὶ παραλαβεῖν τὸν στρατόν· ἀπὸ δὲ ταύτης πεντεκαίδεκα ἄλλας ἐλεῖν Περσέα, καὶ Μακεδόνας παραλαβεῖν. οὕτω δὲ ὀξέως ἁπάντων ἐπιτυχὼν δεῖσαι, μή τι τῷ στρατῷ συμπέσοι, πρὸς ὑμᾶς ἐπανιόντι. διασωθέντος δὲ τοῦ στρατοῦ, περὶ ὑμῶν ἐδεδοίκειν, ἔφη. φθονερὸς γὰρ ὁ δαίμων. εἰς ἐμὲ δὲ ἀποσκήψαντος τοῦ κακοῦ, καὶ ἀθρόως μοι τῶν δύο παίδων ἀποθανόντων, ἐπ' ἐμαυτῷ μέν εἰμι βαρυσυμφορώτατος, ἐπὶ δὲ ὑμῖν ἀμέριμνος. ταῦτ' εἰπών, καὶ καταθαυμαζόμενος ἐπὶ πᾶσιν, οἰκτιζόμενος δὲ ἐπὶ τοῖς τέκνοις, μετ' οὐ πολὺν χρόνον ἀπέθανεν.* (Exc. Val. 36, Roos p. 233).

Haec ex Polybio ipso manasse non videntur; nam, ut omittam diem supremum filii *ante* triumphum mortui cum alterius die supremo commutatum, quae neglegentia Appiani esse potest (Nissen p. 278), alium auctorem intermedium arguit illud *φθονερὸς γὰρ ὁ δαίμων* (15), nomen Maximi pro Fabio usurpatum (4) duxque exercitus non in Macedonia verum in Thessalia acceptus (10—11). Absurde quoque cum hac narratione mors Aemilii Pauli coniuncta est, quem anno demum 160 a. Ch. n. diem supremum obiisse notum est.

XXI. Liv. XLV, 42, 5—12 *⟨Bithys, filius Cotyis,⟩ regis Thracum, ⟨cum⟩ obsidibus in custodiam Carseolos est missus. ceteros captivos, qui in triumpho ducti erant, in carcerem condi placuit. paucos*

post dies, quam haec ‹sunt› acta, legati ab Cotye, rege Thracum, venerunt pecuniam ad redimendum filium aliosque obsides adportantes. 5
7 *eis in senatum introductis et id ipsum argumenti praetendentibus orationi, non sua voluntate Cotyn bello iuvisse Persea, quod obsides dare coactus esset, orantibusque, ut eos pretio, quantum ipsi statuissent*
8 *patres, redimi paterentur, responsum ex auctoritate senatus est, populum Romanum meminisse amicitiae, quae cum Cotye maioribusque eius et* 10
9 *gente Thracum fuisset. obsides datos crimen, non criminis defensionem esse, cum Thracum genti ne quietus quidem Perseus, nedum bello*
10 *Romano occupatus timendus fuerit. ceterum, etsi Cotys Persei gratiam praetulisset amicitiae populi Romani, magis, quid se dignum esset, quam quid merito eius fieri posset, aestimaturum, filium atque obsides ei* 15
11 *remissurum. beneficia gratuita esse populi Romani; pretium eorum malle relinquere in accipientium animis quam praesens exigere. legati tres nominati, T. Quinctius Flamininus, C. Licinius Nerva, M. Caninius Rebilus, qui obsides in Thraciam reducerent; et Thracibus munera data*
12 *in singulos binum milium aeris. Bithys cum ceteris obsidibus a Carseolis* 20 *accersitus ad patrem cum legatis missus. naves regiae captae de Macedonibus invisitatae ante magnitudinis in campo Martio subductae sunt.*

Haec ex Polybio non fluxerunt, cum alia et multo plura, quam Pol. XXX, 17 B.-W.; 18 Hu., tradant: nomen filii Cotyis eiusque missionem in custodiam cum nomine loci, numerum et nomina legatorum Romanorum, obsides cum filio regis reductos.

XXII. Verba Livii, qui XLV, 44, 1—3 magistratus sacerdotesque Romae creatos enumerat, Annalium scriptorem indicant fontem, cf. Nissen p. 86 ss., 279.

XXIII. Liv. XLV, 44, 4—19. *Eo anno rex Prusia Romam venit—haec de Prusia nostri scriptores.*

Ut ex verbis extremis apparet, haec omnia ex Polybio non fluxerunt.

XXIV. App. *Mithr.* 2. *Περσέως δ' ἁλόντος, ἀπήντησε τοῖς Ρωμαίων στρατηγοῖς* (Prusias), *εἱμά τε Ῥωμαϊκὸν ἀμπεχόμενος, ὃ καλοῦσι τήβεννον, καὶ ὑποδήματα ἔχων Ἰταλικά, τὴν κεφαλὴν ἐξυρημένος, καὶ πῖλον ἐπικείμενος (ᾧ τρόπῳ τινὲς προῖασι τῶν ἐν διαθήκαις ἐλευθερωθέντων), αἰσχρὸς ὢν καὶ τἄλλα ὀφθῆναι καὶ* 5 *βραχύς. ἐντυχὼν δ' αὐτοῖς ἔφη Ῥωμαϊστὶ τῷ ῥήματι· Ῥωμαίων εἰμὶ*

λίβερτος· ὅπερ ἐστὶν ἀπελεύθερος. γέλωτα δὲ παρασχὼν ἐς Ῥώμην ἐπέμφθη· καὶ φανεὶς κἀνταῦθα γελοῖος ἔτυχε συγγνώμης.

Haec per intermedium scriptorem ad Appianum venisse apparet ex erroribus (ut Prusias non legatis Romanis, sed ducibus obviam iens, idem Romam missus), explicationibus verborum Latinorum, additamentis (ut 5—6 *αἰσχρὸς—βραχύς*, 6 *ἔφη—ῥήματι*, 7 *γέλωτα δὲ παρασχών*); abest denique ignaviae documentum in senatu datum, summa totius narrationis.

XXV. Excerpta Urs.[e] 86—89 cui anno cuique libro Polybiano attribuenda sint, dubitatur. N. 89 enim manifeste cohaeret cum Exc. Val. 101, Roos p. 185, quae ecloga praecedit n. 102, cui in margine codicis Peiresciani adscriptum est *λόγος λα'*. Sequitur, ut excerpta n. 86—89 libro XXX danda sint. At contra n. 87 agit de rebus post Antiochi ludos magnificos factis, qui ludi teste Athenaeo X p. 439[b] in libro XXXI a Polybio enarrata sunt. Igitur Schweighaeuser et Hultsch in editionibus suis ordinem ita mutant, ut in libro XXX ponant n. 89, in libro autem XXXI n. 86, 88, 87, quae mutatio nullo modo probari potest. Nec melius in adnotationibus Schweighaeuser suadet, ut libri XXX capita 19—24 Hu. omnesque res a. 588 a. u. c. (168 a. Chr. n.) gestae ad librum XXXI trahantur, cum non solum testimonium codicis spernatur, sed etiam res anni 168/167 tanti ambitus non videantur, ut eis enarrandis integro libro opus esset; (vide p. 36). Praestare igitur videtur, ut Athenaeum errasse statuamus, cf. Metzung p. 29.

XXVI App. *Syr.* 45. *ἐστράτευσε δὲ καὶ ἐπὶ Ἀρταξίαν, τὸν Ἀρμενίων βασιλέα.*
ibidem 66. *Ἀρταξίαν τὸν Ἀρμένιον εἶλε.*

Haec tantopere contracta ex Polybio ipso non fluxerunt, praesertim, cum loco altero expeditio Aegyptiaca anni 169/168 *sequatur*.

ABBREVIATA.

Excerpta historica iussu Imp. Constantini Porphyrogeniti confecta:
1. U. Ph. Boissevain *Excerpta Maiana* sive *de sententiis.*
2. C. de Boor *a. Excerpta Ursiniana* sive *de legationibus Romanorum* et *gentium. b. Excerpta de Insidiis.*
3. Th. Buettner-Wobst *Excerpta Valesiana* sive *de virtutibus et vitiis* pars I.
4. A. G. Roos *Excerpta Valesiana* sive *de virtutibus et vitiis* pars II.
A. Metzung *De Polybii librorum XXX—XXXIII fragmentis ordine collocandis.*
B. Niese *Geschichte der griechischen und makedonischen Staaten seit der Schlacht bei Chaeronea.*
H. Nissen *Untersuchungen über die Quellen der vierten und fünften Dekade des Livius.*
W. Schwarze *Quibus fontibus Plutarchus in vita L. Aemilii Paulli usus sit.*
Weissenborn-Heraeus *Titi Livi ab urbe condita libri,* editio altera.

Pericopen a compilatore detortam aut additam inter [] posui, incertam an ex Polybio haustam inter (), inclusis litteris obliquis.

COLUMBIA UNIVERSITY
0032188382

DEC 1 0 1920